eul_wid: mlw-as

*Ἀριστοφάνους Σχόλια* · Aristophanes Scholia

# Scholia-Wealth

*Σχόλια εἰς Πλοῦτον*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

arg plut t ΥΠΟΘΕΣΕΙΣ [Βουλόμενος Ἀριστοφάνης σκῶψαι τοὺς Ἀθηναίους ἀδικίᾳ καὶ συκοφαντίᾳ καὶ τοῖς τοιούτοις συνόντας, καὶ διὰ τοῦτο πλουτοῦντας, πλάττει πρεσβύτην τινὰ γεωργὸν Χρεμύλον τοὔνομα, δίκαιον μὲν ὄντα καὶ τοὺς τρόπους χρηστὸν, πένητα δὲ ἄλλως· ὃς μετά τινος αὐτῷ θεράποντος ἐλθὼν εἰς Ἀπόλλω ἐρωτᾷ περὶ τοῦ ἰδίου παιδὸς, εἰ χρὴ τουτονὶ τρόπων χρηστῶν ἀμελήσαντα ἀδικίας ἀντιποιεῖσθαι καὶ ταὐτὰ τοῖς ἄλλοις ἐπιτηδεύειν, ἐπειδήπερ οἱ μὲν τοιοῦτοι ἐπλούτουν, οἱ δὲ τὰ ἀγαθὰ πράττοντες πένητες ἦσαν, καθάπερ αὐτὸς οὗτος ὁ Χρεμύλος, ἔχρησεν οὖν αὐτῷ ὁ θεὸς σαφὲς μὲν οὐδὲν, ὅτῳ δὲ ἐξιὼν ἐντύχοι, τούτῳ ἕπεσθαι.

arg plut 1 καὶ ὃς γέροντι ἐντυγχάνει τυφλῷ, ἦν δὲ οὗτος ὁ Πλοῦτος, καὶ ἀκολουθεῖ κατὰ τὰς μαντείας, μὴ εἰδὼς ὅστις οὗτός ἐστι. δυσχεραίνων δὲ ἐπὶ τούτῳ καθ’ ἑαυτὸν ὁ θεράπων μόλις αὐτὸν ἐρωτᾷ τίνος ἕνεκα τούτῳ ἀκολουθοῦσι. καὶ ὁ Χρεμύλος λέγει αὐτῷ τὴν μαντείαν. ἔπειτα μανθάνουσι παρ’ αὐτοῦ Πλούτου ὅστις ἐστὶ καὶ ὅτου χάριν τυφλὸς ἐγεγόνει παρὰ τοῦ Διός. οἱ δὲ ἀκούσαντες ἥσθησάν τε καὶ βουλὴν ἐβουλεύσαντο ἀπαγαγεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ καὶ τὴν τῶν ὀφθαλμῶν θεραπεῦσαι πήρωσιν. καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, τάς τε τοῦ Βλεψιδήμου ἀντιλογίας καὶ τῆς Πενίας αὐτῆς, ἀπήγαγόν τε αὐτὸν ὅτι τάχιστα καὶ ὑγιᾶ ἐπανήγαγον οἴκαδε, ἐπλούτησάν τε ἱκανῶς οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ ὅσοι βίου χρηστοῦ πρόσθεν ἀντεχόμενοι πένητες ἦσαν. ἐπιγέγραπται δὲ τὸ δρᾶμα Πλοῦτος Ἀριστοφάνους.] Πρεσβύτης τις Χρεμύλος πένης ὢν τὴν οὐσίαν ἀφικνεῖται εἰς θεοῦ· ἐρωτᾷ δὲ τὸν θεὸν πῶς ἂν εἰς ἔκδηλον ἁβρόν τε μετασταίη βίον.

arg plut 2 τοιόνδε δὲ ἐγγεγύηται ὁ χρησμός. χρᾷ γὰρ αὐτῷ ὁ θεὸς ἐξιόντι τοῦ ναοῦ, τούτῳ ἕπεσθαι, ᾧ πρώτῳ συντύχῃ. καὶ δὴ τυφλῷ γέροντι συντυχὼν εἵπετο πληρῶν τὸν χρησμόν. ἦν δὲ Πλοῦτος οὗτος. ὕστερον δὲ προσδιαλεχθεὶς αὐτῷ εἰσάγει εἰς Ἀσκληπιοῦ, ἰασόμενος αὐτὸν τῆς πηρώσεως, καὶ οὕτω πλούσιος γίνεται. ἐφ’ ᾧ δυσχεράνασα ἡ Πενία παραγίνεται λοιδορουμένη τοῖς τοῦτο κατορθώσασι· πρὸς ἣν καὶ διάλογος οὐκ ἀφυὴς γίνεται, συγκρινομένων τῶν φαύλων τῆς Πενίας καὶ τῶν τοῦ Πλούτου ἀγαθῶν ὑπὸ Βλεψιδήμου καὶ Χρεμύλου. πολλῶν τε ἄλλων ἐπεισρεόντων, ἐν τῷ ὀπισθοδόμῳ τῆς Ἀθηνᾶς ἀφιερώσαντο Πλούτου ἰνδάλματα. τὰ μὲν οὖν τῆς ὑποθέσεως ταῦτα. προλογίζει δὲ θεράπων, δυσχεραίνων πρὸς τὸν δεσπότην, ὅτι τυφλῷ καὶ γέροντι κατακολουθεῖν οὐκ ᾐσχύνετο. Πρεσβύτης τις Χρεμύλος πένης ὢν καὶ ἔχων υἱὸν, κατανοήσας ὡς οἱ φαῦλοι τὸ τηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ ἀτυχοῦσιν, ἀφικνεῖται εἰς

θεοῦ, χρησόμενος πότερον τὸν παῖδα σωφρόνως ἀναθρέψειε, καὶ ὅμοιον ἑαυτῷ τοὺς τρόπους διδάξειεν (ἦν γὰρ οὗτος χρηστὸς), ἢ φαῦλον, ὡς τῶν φαύλων τότε εὐπραγούντων.

arg plut 3 ἐλθὼν οὖν εἰς τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο οὐδὲν ἤκουσεν, προστάττει δὲ αὐτῷ, ᾧ τινι πρῶτον ἐξιὼν συντύχῃ, ἀκολουθεῖν. καὶ τὰ λοιπὰ ὡσαύτως. Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ.

arg plut 4 τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, καὶ τὸν υἱὸν αὑτοῦ συστῆσαι Ἀραρότα δι’ αὐτῆς τοῖς θεαταῖς βουλόμενος, τὰ ὑπόλοιπα δύο δι’ ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα. [Ἰστέον δὲ ὅτι τὰ τοῦ δράματος πρόσωπα πεπλασμένα εἰσὶ παρὰ τοῦ ποιητοῦ.

arg plut 5 Χρεμύλος γὰρ ἀπὸ τοῦ χρέος καὶ τοῦ αἱμύλλω τὸ ἀπατῶ εἴρηται, ὁ ἀπατῶν δηλαδὴ τοὺς χρεωφειλέτας διὰ πενίαν. καὶ τὸ Καρίων ἐξελληνιζόμενον τὸν δοῦλον δηλοῖ· Κᾶρες γὰρ οἱ δοῦλοι, ὅθεν καὶ ἡ παροιμία, ἐν Καρὸς αἴσῃ, ἤτοι ἐν δούλου τάξει. καὶ τὸ Βλεψίδημος δὲ ἤτοι πτωχὸς, ὁ βλέπων ἀεί ποτε εἰς τὸν δῆμον.] ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ Μαντεύεται δίκαιος ὤν τις καὶ πένης εἰ μεταβαλὼν πλούτου τυχεῖν δυνήσεται.

arg plut 6 (1t) ἔχρησεν ὁ θεὸς συνακολουθεῖν ᾧπερ ἂν ἀνέρι περιτύχῃ. Πλοῦτος ὀπτάνεται τυφλός. γνοὺς δ’ αὐτὸν, ἤγαγ’ οἴκαδ’, ἄλλους δημότας καλέσας μετασχεῖν· εἶθ’ ὑγιάσαι τὰς κόρας ἔσπευδον· εἰς Ἀσκληπιοῦ δ’ ἀπήγαγον. ἡ δ’ ἄφνω Πενία διεκώλυσεν. οὕτως ἀναβλέψαντος αὐτοῦ, τῶν κακῶν οὐδεὶς ἐπλούτει, τῶν δ’ ἀγαθῶν ἦν τἀγαθά. SCHOLIA IN PLUTUM ⟦ Ἡ εἴσθεσις τοῦ δράματος ἄρχεται ἐκ συστηματικῆς περιόδου, καὶ ἐξ ἀμοιβαίων.

sch plut ante 1 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι. ὧν τελευταῖος, «τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι.» ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τούτων τὸ χοροῦ. ὤφειλε γὰρ χορὸν θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων συμμίξῃ τοῖς γέρουσιν. Ὁρῶν ὁ Καρίων τὸν ἑαυτοῦ δεσπότην Χρεμύλον μετὰ τὸ ἐξελθεῖν τοῦ μαντείου τυφλῷ ἀνδρὶ ἑπόμενον, σχετλιάζων καὶ δυσφορῶν φησὶν τὸ ὡς ἀργαλέον ἤτοι τὴν ἀρχήν. Σχόλιον τοῦ λογιωτάτου μαγίστρου, ex cod. Parisino. ⟧ (Τοῦ ὡς πέπλεκται ἡ διάνοια ἐκ τοῦ θαυμασμοῦ καὶ σχετλιασμοῦ.

sch plut 1 τὸ γὰρ ὡς ἐπίρρημα ἐπαμφοτερίζει, ἢ ἐνταῦθα εἴληπται ἐπιτάσεως δηλωτικόν. ἀπαυδᾷ δὲ οὐ διὰ τὴν τύχην, ἀλλὰ διὰ τὸ ἐπαχθὲς τῶν δεσποτῶν.) ὡς ἀργαλέον: Ὁ θεράπων δυσφορεῖ τοῦ δεσπότου ἑπομένου τυφλῷ ἀνδρί. τὸ δὲ ἀργαλέον, χαλεπὸν, δύσκολον, δυσχερές. εἴρηται δὲ παρὰ τὸ ἄλγος ἀλγαλέον καὶ κατὰ τροπὴν τοῦ λ εἰς ρ ἀργαλέον· (ὡς ποδαλγία, ποδαργία. ἢ ἔργον παρὰ τοῖς παλαιοῖς τὸ δυσχερές· ἐκ τούτου παράγωγον ἀργαλέον· ὡς ἀπὸ τοῦ ἔπω ἀπύω.) —ὡς ἀργαλέον: Ἀργαλέον τὸ βαρὺ καὶ δύσκολον καὶ λυπηρόν· ἀπὸ τοῦ ἄλγος ἀργαλέον ὡς ποδαλγία, ποδαργία· ἢ ἐκ τοῦ ἔργου τὸ δύσκολον, ἀφ’ οὗ καὶ τὸ ἐργῶδες, κατὰ παραγωγὴν ἐργαλέον καὶ ἀργαλέον. ἀργαλέον τὸ μετέχον ἄλγους· ὥσπερ καὶ θαρσαλέον τὸ μετέχον θράσους. Dv. ὡς ἀργαλέον: δύσκολον, δυσχερές. R. λίαν δύσκολον καὶ βαρύ. Θ. et cod. Nanian. in Catalogo p. 477. ἐστιν: Ὑπάρχει. θεοὶ: Ὦ. Nan. [ὦ Ζεῦ: Τὸν Δία παρέλαβε κατ’ ἐξοχὴν τῶν ἄλλων θεῶν, ὡς τὸ [Hom. Il. N, 1] Ζεὺς δ’ ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε. ] ⟦ κἀκεῖ γὰρ τὸν Ἕκτορα ὀνομάζων κατ’ ἐξοχὴν παρείληφε. ⟧ —προτάττει τὸν Δία θεῶν κρείττονα ὄντα. Θ. δοῦλον γενέσθαι: Χαλεποῦ ὄντος (φύσει) τοῦ δουλεύειν, χαλεπώτερον γίνεται, ἐὰν καὶ ἀνοήτῳ τις δεσπότῃ ὑπηρετῇ.

sch plut 2 —δοῦλον: Τινὰ ἄνθρωπον ὑπάρξαι. Θ. Nan. παραφρονοῦντος: μαινομένου. Nan. μαινομένου, οὐκ εἰδότος τί δεῖ ποιεῖν. Θ. δεσπότου: Αὐθέντου. Nan. παραφρονοῦντος: Ἤγουν μαινομένου, οὐκ εἰδότος τί δεῖ ποιεῖν, ἤτοι ἀνοηταίνοντος καὶ μωροῦ, παρὰ τὸ εἰκὸς φρονοῦντος. ἡ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρά ἐνταῦθα τὴν ἔξω σχέσιν δηλοῖ. Junt. Τὸ ὅλον οὐ πρὸς τὴν τύχην ἐστίν· οὐ γὰρ ὅτι δοῦλός ἐστι λυπεῖται· ἀλλὰ πρὸς τὴν διαφορὰν τῶν κεκτημένων ἔθηκε καὶ παραφρονοῦντος. G. τὸ ἤν ἀπόστροφον λαμβάνει, ὅ ἐστιν ἀντίστροφον.

sch plut 3 ἔστι δὲ ὥσπερ καὶ ἄλλως τοὐναντίον δρῶν. καὶ τοῦτο γὰρ ἀντίστροφον δέχεται. ἔστι γὰρ τὸ ἐναντίον δρῶν. ἡ δὲ ἀπόστροφος ἀντίστροφος καλεῖται. Ἀρίσταρχος γὰρ τοῦτο σημειοῦται. ὅ ἐστιν παρ' ἡμῖν ἀπόστροφος, ἀντίστροφος αὐτῷ καλεῖται. G. τὰ: Περισσὸν Ἀττικῶς. Θ. λέξας τύχῃ: Περιφραστικῶς, ἀντὶ τοῦ λέξῃ. Θ. Junt. ⟦ μὴ δρᾶν ταῦτα: Οἱ γράφοντες ταὐτὰ οὐ καλῶς γράφουσιν· εὕρηται γὰρ ἐν πολλοῖς τῶν παλαιῶν ἀντιγράφων τὸ ταῦτα, καὶ ἔστι κρεῖττον ἐκείνου.

sch plut 4 ⟧ —ἃ ὁ θεράπων λέξει. γράφεται ταυτά. Θ. ταυτὰ: Ὅμοια τῷ ἔχοντι αὐτόν. A. B. D. Θ. ταυτὰ: Καὶ τὰ ὅμοια. Harl. 6. μετέχειν ἀνάγκη: (Πρὸς) τὸ ποιητικὸν [Hom.

sch plut 5 Od. Π, 322] ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι. τί γὰρ κακώτερον τοῦ τὰ ἐναντία ἑαυτῷ διαπράττεσθαί τινα, ἐν τῷ μὴ ποιεῖν ἃ βούλεται, ἀλλὰ καὶ τῆς τῶν ἄλλων ἀφροσύνης ἀνέχεσθαι; ⟦ τῶν κακῶν: Τῶν ἀφροσυνῶν ὧν ὁ δεσπότης ἔχει· ἤγουν τῶν πληγῶν, αἳ τοῖς ἀπειθοῦσι τοῖς δεσπόταις ὀφείλονται. εἰώθασι δὲ οἱ Ἀττικοὶ τὰ ἄρθρα πλεονάζειν. ὥσπερ οὖν ἐν τῷ «τὰ βέλτιστα» περισσὸν ἦν Ἀττικῶς τὸ ἄρθρον, οὕτω κἀνταῦθα τὸ «τῶν.» καὶ ἐν τοῖς ἑξῆς τὸ «τό,» ὡς ἐν τῷ «τὸ ποῖον.» τὸ δὲ [V. 8] «ταῦτα» τὸ δεύτερον οὐκ ἔστιν ἀντὶ τοῦ ταύτῃ, ὡς οἴονταί τινες, ἀλλ' ἀντὶ τοῦ ταῦτα πάλιν Ἀττικῶς. ⟧ — τῶν ἐκ τοῦ δεσπότου πληγῶν καὶ τιμωριῶν. Θ. τοῦ σώματος γὰρ: Οἷον, αὐτὸν ἑαυτοῦ τὸν δοῦλον οὐκ ἐᾷ κρατεῖν· μάλιστα γὰρ κύριος τοῦ σώματος ἕκαστος αὐτὸς ἑαυτοῦ.

sch plut 6 —σώματος: Τοῦ οἰκείου. οὐκ ἐᾷ: Οὐκ ἀφίησι. Θ. κρατεῖν: Ἐξουσιάζειν.

sch plut 7 Junt. ὁ δαίμων: Ἡ τύχη. R. Θ. Junt. Dv. (τὸν ἐωνημένον: Ἀντὶ τοῦ τὸν ὠνησάμενον, ἀπὸ τοῦ ὠνοῦμαι. λέγεται γὰρ καὶ ἡ ἐφεξῆς τοῦ ῥήματος κλίσις. τοῦ δὲ ὀνόματος τὸ πληθυντικὸν οὐκ ἔστιν ὠνησάμενοι. διὸ μεταβαλόντες αὐτὸ ἐπὶ ἑτέραν φωνὴν πριάμενοι λέγουσιν Ἀττικοί.) — τὸν ἀγοράσαντα. Θ. Ἄλλως. διχῶς εὕρηται τὸ ἐώνημαι· καὶ ἐπὶ τοῦ ἠγορακότος καὶ ἐπὶ τοῦ ἠγορασμένου· καὶ ἐπὶ τοῦ μὲν ἠγορακότος ὡς ἐνταῦθα· ἐπὶ δὲ τοῦ ἠγορασμένου, ὡς παρὰ Συνεσίῳ [Epist. 3] «ἡ γὰρ Λαῒς ἀνδράποδον ἦν Ὑκκαρικὸν ἐκ Σικελίας ἐωνημένον.» Junt. τοῦτο παρεπιγραφὴ λέγεται.

sch plut 8 R. (καὶ ταῦτα μὲν δὴ ταῦτα: Καὶ ταῦτα μὲν δὴ τοῦτον ἔχει τὸν τρόπον· ἔστι δὲ τὸ σχῆμα ἀποθετικὸν τῆς πρώτης διανοίας.) —κύκλος. Θ. τῷ δὲ Λοξίᾳ: Τῷ Ἀπόλλωνι· ἤτοι τῷ λοξὴν ἴαν πέμποντι· λοξὰ γὰρ μαντεύεται ὁ θεός. ἢ τῷ λοξὴν πορείαν ποιουμένῳ· ὁ αὐτὸς γάρ ἐστι τῷ ἡλίῳ. —τῷ Ἀπόλλωνι· ἐπειδὴ πλάγιος ἐν τῷ ζωδιακῷ φέρεται ὁ αὐτὸς ἥλιος ὤν· ἢ ἐπεὶ πολλοὺς καὶ ἀσαφεῖς τοὺς χρησμοὺς δίδωσι. V. τῷ δὲ Λοξίᾳ: Ἢ τῷ Ἀπόλλωνι λοξὰ μαντευομένῳ· ἢ ἐπειδὴ ὁ Ἀπόλλων εἰς τὸν ἥλιον ἀλληγορεῖται, Λοξίαν τοῦτον εἴποις, ὡς λοξὴν τὴν πορείαν ποιούμενον. Dv. ὃς θεσπιῳδεῖ: Ἐτραγικεύσατο τῇ φράσει.

sch plut 9 ἡ δὲ Πυθία ἐπὶ τρίποδος καθημένη χρησμῳδεῖ. καλεῖται δὲ τὸ μέρος, ἐν ᾧ κάθηται, ὅλμος. Ἄλλως. τρίποδι χρῆται ὁ Ἀπόλλων μαντευόμενος διὰ τοὺς τρεῖς καιροὺς τῶν πραγμάτων. Ὅμηρος [Il. Α, 70] ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα πρό τ' ἐόντα. τινὲς φασὶν οὕτω κτήσασθαι [τὸν Ἀπόλλωνα] τὸν τρίποδα. ἁλιεῖς [ἐν Μιλήτῳ τινὲς] μισθῷ βόλον ἔρριπτον, ἵνα τὸ ἀναφερόμενον εἴη τοῦ ἀγοράσαντος τὸν βόλον. συμβέβηκε γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. ἐφιλονείκουν οὖν περὶ αὐτοῦ, οἱ μὲν ἁλιεῖς, ὡς ἰχθῦς πεπράκασιν, οὐ τρίποδα· οἱ δὲ ἀγοράσαντες ἔλεγον, ὡς πᾶν τὸ ἀνιὸν καὶ πᾶν ὅ τι τύχοι ὠνήσαντο. οὕτως οὖν αὐτῶν φιλονεικούντων, ἔδοξεν ἐρωτῆσαι τὸν Ἀπόλλωνα. ὁ δὲ ἀνεῖλεν αὐτοῖς ταῦτα, ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς· ὃς σοφίῃ πάντων πρῶτος, τούτου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τρίποδ’ αὐδῶ. προσήγαγον οὖν αὐτὸν τοῖς ἑπτὰ σοφοῖς· ἕκαστος δὲ τούτων παρῃτεῖτο σοφὸς εἶναι, διόπερ ἐγνώκασιν, ὡς σοφωτέρῳ πάντων, ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι· ὅθεν φασὶν ἐσχηκέναι αὐτὸν τὸν τρίποδα. [ἡ δὲ λέξις ἠτυμολόγηται ἢ παρὰ τὸ θέσπιν ᾠδὴν, ἢ παρὰ τὸ τὴν Θέμιν ἐκεῖ τὰς μαντείας ἄγειν.] (χρυσοῦς δέ ἐστιν ὁ τρίπους, ὅτι τιμία ἡ ὕλη· καὶ οἱ διδόμενοι χρησμοὶ τίμιοι.) ⟦ οὕτω φασὶν ἐσχηκέναι τὸν Ἀπόλλωνα τὸν τρίποδα. ἁλιεῖς μισθῷ δίκτυον ἐν θαλάττῃ ἔρριπτον, ἵνα τὸ ἀγρευθὲν εἴη τοῦ τὸν μισθὸν διδόντος αὐτοῖς. συμβεβήκει γοῦν ἀντὶ ἰχθύων τρίποδα χρυσοῦν περιλαβεῖν αὐτοὺς τῷ δικτύῳ. φιλονεικούντων οὖν τῶν τε ἁλιέων καὶ τοῦ μισθώσαντος, καὶ τῶν μὲν λεγόντων ὡς οὐ τρίποδα πεπράκασιν, ἀλλ’ ἰχθῦς, τοῦ δὲ ὡς πᾶν ὅ τι τύχοι· ἔχρησεν οὖν ὁ Ἀπόλλων, τῷ σοφῷ τοῦτον ἀνενεγκεῖν. ἀγαγόντες οὖν τοῦτον ἐπὶ τοὺς ἑπτὰ φιλοσόφους, ἐπεὶ ἀπηρνεῖτο εἷς ἕκαστος μὴ εἶναι σοφὸς, ἀνέθηκαν τῷ Ἀπόλλωνι εἰκότως· μάντις γὰρ ὢν, τοὺς τρεῖς χρόνους εἶδε, τά τ’ ὄντα τά τ’ ἐσόμενα πρό τ’ ἐόντα. Par. μαντεύεται καὶ χρησμοδοτεῖ καὶ θείας φωνὰς λέγει. χρυσηλάτου: Ἐκ χρυσοῦ πεποιημένος. Θ. ⟧ ὅτι ἰατρὸς ὢν καὶ μάντις: Τῶν δυοῖν ἀρετῶν τοῦ θεοῦ μέμνηται κατὰ τὸ παρὸν, θεσπίσεώς τε καὶ τῆς κατὰ τὴν ἰατρικὴν ἐπιστήμης.

sch plut 11 [εὐκαίρως δὲ τούτων τὴν μνήμην ἐποιήσατο· ἰατρικῆς μὲν, ὅτι ἀνίατον ἀπέπεμψε τὸν δεσπότην, καὶ τὴν μὴ προσοῦσαν περιῆψε μελαγχολίαν. θεσπίσεως δὲ, διὰ τὸ προσεχὲς (τῆς ἐκεῖθεν ἐξόδου). τὴν δὲ μουσικὴν κατέλιπε, μὴ χρείαν αὐτῆς ἔχων.] (τριῶν οὐσῶν τεχνῶν, ὧν μετεῖχεν ὁ θεὸς, νῦν μέμνηται μαντείας καὶ ἰατρικῆς, παρῆκε δὲ τὴν μουσικὴν, ὡς ἐπὶ τοῦ παρόντος μὴ χρείαν αὐτῆς ἔχων· ἢ διὰ τοῦ σοφός τὴν μουσικὴν αἰνίττεται. πρὸς τὸ χάριεν οὖν διαβάλλει τὸν θεὸν, ὅτι τῶν ἄλλων ἰατρὸς ὢν, οὐκ ἰάτρευσεν αὐτὸν, ἐξέπεμψε δὲ πρὸς τούτῳ καὶ τῆς προσούσης αὐτῷ συνέσεώς τε καὶ σοφίας ἀπεστέρησεν, ἐκταράξας διὰ τῆς μαντείας. τοῦτο οὖν ἔοικε λέγειν, ὅτι διὰ τῶν ἑαυτοῦ μᾶλλον οἰκείων ἔβλαψε τὸν δεσπότην.) ⟦ ἰατρὸς ὢν καὶ μάντις: Οὐ μόνον ἰατρὸν καὶ μάντιν φασὶ τὸν Ἀπόλλωνα, ἀλλὰ καὶ μουσικόν· τὸ μὲν μουσικὸν παρῆκε, διὰ τὸ μὴ χρείαν ἔχειν· τῆς δὲ ἰατρικῆς καὶ μαντικῆς ἐμνήσθη, τῆς μὲν, ὅτι ἔδει ὡς ἰατρὸν νοσοῦντα τὸν αὐτοῦ δεσπότην θεραπεῦσαι, ἀλλὰ μὴ εἰς μανίαν μᾶλλον κινῆσαι· τῆς δὲ μαντικῆς, ὅτι οὐκ ἔχρησεν αὐτῷ, ἃ ἐβούλετο, ἀλλὰ μάτην ἀπέπεμψεν. Dv. ⟧ τὸ ὥς φασιν ὡς ἀπιστῶν φησιν ἐξ ὧν αὐτὸς ἐπειράθη. R. ψεύδεται ὁ δοῦλος οὐ γὰρ ἀληθῆ λέγει ὅτι μελαγχολᾷ μου ὁ δεσπότης, ἐπεὶ ἐκεῖνος κατὰ πρόσταξιν τοῦ θεοῦ τοῦτο ἐποίει.

sch plut 12 οὐ μὴν ἀληθῆ ἦν. V. μελαγχολῶντα: Χολᾶν παρὰ τοῖς Ἀττικοῖς τὸ μαίνεσθαι· παρὰ δὲ τοῖς κοινοῖς τὸ θυμοῦσθαι. Junt. οἱ γὰρ βλέποντες: Τὸ εὔηθες καὶ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τοῦ κατὰ τὸν περίπατον ἐναντίου· ἡγεῖσθαι γὰρ προσῆκεν, οὐχ ἕπεσθαι τυφλῷ.

sch plut 15 — τὸ εὔηθες ἢ μανικὸν τοῦ δεσπότου λέγει ἐκ τῆς ἐναντιώσεως· ἡγεῖσθαι γὰρ προσῆκεν, οὐχὶ ἕπεσθαι τυφλῷ. Ἄλλως. τὸ εὔηθες ἢ μανικὸν κατηγορεῖ τοῦ δεσπότου ἐκ τῆς κατὰ τὸν περίπατον ἐναντίον τῷ δέοντι σχέσεως. V. ἡγούμεθα: Ἡγοῦμαι τὸ προοδοποιῶ, πρὸς δοτικὴν ἀποδιδόμενον δοκεῖ κατὰ τὴν σύνταξιν ἐλλειπῶς ἔχειν· εἰ γὰρ κατὰ τὸ πλῆρες λεχθείη, γενικῇ ἂν καὶ αὐτὸ συνταχθείη, οἷον, ἡγοῦμαί σοι τῆς ὁδοῦ. Junt. κἀμὲ προσβιάζεται: Ἤγουν, σὺν τῷ ἀκολουθεῖν αὐτὸν τῷ τυφλῷ κἀμὲ τοῦτο ποιεῖν ἀναγκάζει.

sch plut 16 Junt. δηλονότι ἀκολουθεῖν. R. ἀποκρινομένου: Τοῦ τυφλοῦ ἢ τοῦ Χρεμύλου.

sch plut 17 D. τοῦ τυφλοῦ ἀπόκρισιν διδόντος. Borg. τὸν Πλοῦτον φησίν. μὴ ἀποκρινομένου τὸ παράπαν οὐδὲ ὀλίγον. V. οὐδὲ γρὺ: βραχύ. ἔστι δὲ ὄνυχος ῥύπος. τινὲς δὲ παρὰ τὸν γρυλισμὸν, τουτέστι τὴν φωνὴν τῶν χοίρων. ἢ εἶδος μικροῦ νομίσματος· γρὺ γὰρ τὸ μικρὸν καὶ βραχύτατον. ὅθεν καὶ γρύτη τὰ λεπτὰ σκεύη· καὶ γρυτοπώλης, ὅπερ οὐκ εἴρηται παρὰ τοῖς παλαιοῖς, ἀλλ’ ἀντὶ τούτου ῥυποπώλης καὶ γρυτάρης. κέχρηται δὲ τῇ λέξει ἐπιτείνων τὸ στεγανὸν τῆς ἀποκρίσεως ἀπὸ τοῦ πρὸς τοὺς ὄνυχας ῥύπου, ὃς μικρὸς καὶ εὐτελής. ὅταν δὲ θέλωμεν ἐκφαυλίσαι τινὰ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φαμὲν οὐδὲ γρὺ φθέγγεσθαι, ἀντὶ τοῦ οὐδὲ τὸ τυχόν· οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος, πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον δοκεῖ τι. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων, ὡς ὄχλον διὰ τοῦτο ἐχόντων. τὸ δὲ σχῆμα παρ’ ὑπόνοιαν. —οὐδὲ γρὺ: Οὐδ’ ὁτιοῦν. γρὺ ὁ ῥύπος τοῦ ὄνυχος· καὶ τὰ μικρὰ τῶν γρύλων, ἤτοι τῶν χοίρων. ἀπὸ τούτου δὲ λέγεται ἐπὶ οὐδαμινοῦ πράγματος· ὅταν οὖν θέλωμεν φαυλίσαι τινὰ, λέγομεν ὅτι οὐδὲ γρὺ φθέγγεται, ἀντὶ τοῦ, οὐδὲ τὸ τυχόν· οὐδὲ γὰρ ἔχει τινὰ σύστασιν ὁ τοῦ ὄνυχος ῥύπος, πλὴν ὅσον ἀπὸ τῆς θέας μόνον. Dv. ὅπως σιγήσομαι: Τὸ ὅπως μεταληπτικῶς ἀντὶ τοῦ ὅτι.

sch plut 18 ἔστι μὲν γὰρ τὸ ὅπως ἀντὶ τοῦ ὡς, τὸ δὲ ὡς ἀντὶ τοῦ ὅτι. ἀντὶ τοῦ, οὐδαμῶς σιωπήσω, κατὰ περίφρασιν Ἀττικήν. Junt. πράγματα: Τὰς ὀχλήσεις φησὶν ἐκ μεταφορᾶς τῶν πολυκτημόνων ἀνθρώπων, ὡς ὄχλον διὰ τούτων ἐχόντων.

sch plut 20 Junt. δώσω ὀχλήσεις. Dv. ἀντὶ τοῦ ἐνοχλήσεις. Ven. οὐ γάρ με τυπτήσεις: (Ἔθος τὸν εἰς θεοὺς ἀπιόντα στεφανοῦσθαι, καὶ ἀνεύθυνον εἶναι.

sch plut 21 ) πρὸς τὸ ἔθος, ὅτι καὶ ἀνακομιζόμενοι ἐκ τοῦ μαντείου ἐστεφανηφόρουν. ⟦ ἔθος ἦν εἰς τὸν Ἀπόλλω ἀπιόντας μετὰ στεφάνων ἐντεῦθεν ἀναχωρεῖν. ὡς οὖν στέφανον ἔχων ὁ Καρίων παρρησιάζεται πρὸς τὸν δεσπότην καὶ τοῦτο φησίν. P. ⟧ (Ἄλλως.) ἡ στεφανηφορία διακόσμησις τοῖς εἰς τὸν θεὸν ἀπιοῦσιν ἰσοτίμως δούλοις τε καὶ ἐλευθέροις ἐδίδοτο, οὐδὲν πλεονεκτήματος τεκμήριον ἐλευθέροις δωρουμένη· οὐδὲ μὴν δούλοις ὀνειδίζουσα τὸ τῆς τύχης ὑποδεές. ἔπαιξε δὲ ἅμα χαριέντως καὶ δυσωπητικῶς ὁ Καρίων· καὶ ὡς στέφανον ἔχων παρρησιάζεται καὶ τοῦτό φησι. —τὸ δὲ τυπτήσεις Ἀττικόν ἐστιν ἀπὸ τοῦ τυπτέω ἀχρήστου θέματος. Junt. καθίκοιτο γὰρ ἂν οὕτω μᾶλλον τῆς κεφαλῆς.

sch plut 22 δέχεται γὰρ τὸ σκέπας τὸ ἐν ταῖς καλύψεσι τὸν τῶν προσπιπτόντων φόρτον πληγῶν. ἤτοι τοῖς τοῦ στεφάνου περιθέμασι στερισκόμενος· ἢ ἵνα μᾶλλον ἀλγῇς δεχόμενος τὰς τῶν πληγῶν καταγωγὰς, διὰ τὸ γυμνὸν καθικνεῖσθαι τῆς κεφαλῆς. τὸ δὲ σχῆμα τοῦ λόγου παρ’ ὑπόνοιαν. V. λῆρος, οὐ γὰρ παύσομαι: ⟦ Εἰ μὲν ἐμφανῶς «τὸ λῆρος» πρὸς τὸν δεσπότην εἶπεν, ἀντὶ τοῦ περιττολογία εἶπεν· εἰ δὲ τὸ «οὐ γὰρ παύσομαι, πρὶν ἂν φράσῃς μοι,» εἰς ἐπήκοον αὐτοῦ εἶπε, τὸ δὲ «λῆρος» καθ’ ἑαυτὸν, οὕτως εἴποις· λῆρος καὶ φλύαρος εἶ ταῦτα λέγων.

sch plut 23 ⟧ —τινὲς δέ φασιν ἐσχηματισμένως εἰρῆσθαι ἀντὶ τοῦ λῆρος, ἤγουν μαντικός. Junt. (ἀντὶ τοῦ ληρεῖς, ὅ ἐστι φλυαρεῖς. Ἄλλως.) χαριέντως καὶ τὸν σκοπὸν ἤνυσε καὶ ὑβρίζειν οὐκ ἔδοξε, καίτοι λυπούμενος. ἐπεὶ τὸν δεσπότην ἔμελλεν ὑβρίζειν, εὐστόχως οὐκ εἶπε ληρεῖς, ἀλλὰ λῆρος ἀορίστως. R. V. ⟦ πάνυ σφόδρα: Ὅτι σύνηθες Ἀττικοῖς παράλληλα τιθέναι τὰ ἰσοδυναμοῦντα· δηλοῦται δὲ ἕν τι ἐξ ἀμφοτέρων.

sch plut 25 οὕτως ἔχει καὶ τὸ «τυχὸν ἴσως.» ⟧ — Ἄλλως. εἶπεν ἀμφότερα καὶ τὸ πάνυ καὶ τὸ σφόδρα δηλῶν τὴν ὑπερβολὴν τῆς εὐνοίας. τὸ δὲ πυνθάνομαι, τὸ ἐρωτῶ καὶ τὸ ἀκούω· ὧν τὸ μὲν πρὸς γενικὴν συντάσσεται, τὸ δὲ ἀκούω πρὸς ἀπαρέμφατον, ἢ πρὸς αἰτιατικήν. Junt. κλεπτίστατον: Κερδαλέον, συνετόν· ἀντὶ τοῦ φρονιμώτατον, πανουργότατον.

sch plut 27 Ὅμηρος [Od. Τ, 396] «κλεπτοσύνῃ τε.» Ἄλλως. ἀντὶ τοῦ εἰπεῖν ἡγοῦμαί σε εὐνούστατον καὶ φρονιμώτατον, τὸ παρ’ ὑπόνοιαν ἐπήγαγε κωμικῶς παίζων. V. ⟦ τὸ σχῆμα παρ’ ὑπόνοιαν· ἀντὶ τοῦ εἰπεῖν εὐνούστατον, παίζων κωμικῶς ἅμα καὶ χαριεντιζόμενος διὰ τὸ τῆς κωμῳδίας μειδιαστικὸν, ἅμα δὲ καὶ τὸν οἰκέτην ποιεῖ ἀποδοχῆς τε τυγχάνοντα καὶ χλεύης ἐκ τοῦ δεσπότου· ἦν γὰρ ἐλπὶς συμφώνως τῷ πρώτῳ λεχθήσεσθαι τὸ δεύτερον· ἢ ἀντὶ τοῦ κερδαλέον καὶ συνετόν. Ὅμηρος [Il. Α, 132] «κλέπτε νόῳ» ἀντὶ τοῦ παραλογίζου. εἰώθαμεν δὲ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ κλέπτην τὸν φρόνιμον λέγειν· ἢ μυστηριακώτατον· τὰ γὰρ μυστήρια κρυφίως γίνονται. ⟧ — Ἄλλως. δέον οὕτως εἰπεῖν, πιστότατον ἡγοῦμαί σε καὶ εὐνούστατον, ὁ δὲ παρ’ ὑπόνοιαν κλεπτίστατον εἶπεν. ἀεὶ γὰρ οἱ δοῦλοι τὰ τῶν δεσποτῶν ὑφαιροῦνται. Junt.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟦ κλεπτίστατον: Ἢ ὅτι τὸν φρόνιμον οἱ Ἀττικοὶ κλέπτην ἐκάλουν. ἢ ἀπὸ μεταφορᾶς τῶν κλεπτῶν τοῦτο φησί. φρονιμώτεροι γὰρ οἱ κλέπτοντες ἑαυτῶν γίνονται, ὅταν κλέπτωσιν, ἀναγκαζόμενοι παντὶ τρόπῳ συγκαλύπτειν ὅπερ ἔδρασαν. ὡς καὶ ἡ ἐτυμολογία δείκνυσι τοῦ ὀνόματος. κλέπτης γὰρ ἀπὸ τοῦ καλύπτω ἐτυμολογεῖσθαι δοκεῖ. B. φρονιμώτατον. D. ⟧ καὶ δίκαιος ὢν ἀνὴρ: Ἕπεται τῷ θεοσεβεῖ τὸ δίκαιον εἶναι, γνώρισμα γὰρ αὐτοῦ τοῦτο.

sch plut 28 ὁ γὰρ θεοσεβὴς, ἃ τῷ θεῷ ἐστι φίλα, ταῦτα πράττει. Junt. ἦν: ἀντὶ τοῦ ἤμην Ἀττικῶς.

sch plut 29 (αἰνίττεται δὲ πρὸς τί τοῦ δράματος ὁ σκοπός.) R. V. ἱερόσυλοι, ῥήτορες: Τινὲς οὐ στίζουσιν εἰς τὸ ἱερόσυλοι· οἱ ῥήτορες (γὰρ) ὡς φαῦλοι διεβάλλοντο· διὸ εἶπεν ἱερόσυλοι ῥήτορες.

sch plut 31 καὶ συκοφάνται: Λιμοῦ γενομένου ἐν τῇ Ἀττικῇ τινὲς λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς θεοῖς ἐκαρποῦντο· μετὰ δὲ ταῦτα εὐθηνίας γενομένης, κατηγόρουν τούτων τινὲς, καὶ ἐκεῖθεν συκοφάνται λέγονται. ⟦ Ἄλλως. ἀπείρητο Ἀθήνῃσι μὴ ἐξάγειν ἐντεῦθεν ἄλλοσέ που σῦκα· βουλομένων οὖν τινων ἐξενεγκεῖν, ἱστάμενοι ἐν ταῖς τῶν πυλῶν ἐξόδοις ἄνδρες πανοῦργοι τὸ τούτων ἐξήλεγχον τέχνασμα, ὃ περὶ τὴν ἐξαγωγὴν ἐποίουν. ἐκαλοῦντο οὖν οὗτοι συκοφάνται, ὡς τὰ σῦκα φαίνοντες. ἐπεκράτησεν οὖν ἐξ ἐκείνου τοὔνομα πρὸς πάντας τοὺς πανούργους. ⟧ —εὕρηται δὲ περὶ τούτου καὶ ἑτέρα ἱστορία πάνυ ψυχρά. P. πείθομαι: Πιστεύω. Dv.
⟦ ἐπερησόμενος οὖν: Ἐπερωτήσων τὸν Ἀπόλλωνα.

sch plut 32 ὡς τὸν θεόν δὲ, πρὸς τὸν θεόν. τὸ δὲ ἑξῆς, ᾠχόμην οὖν πρὸς τὸν θεὸν, ἐπερησόμενος καὶ ἐρωτήσων, νομίζων τὸν βίον μὲν ἐμοῦ αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν ἄντικρυς ἐκτετοξεῦσθαι καὶ κεκενῶσθαι, πευσόμενος δὲ καὶ ἐρωτήσων, εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους τὸν υἱὸν, ὃς μόνος μοι τυγχάνει, εἶναι πανοῦργον, ἄδικον, μηδὲν ὑγιὲς (ὁ γὰρ ἄδικος καὶ ἅρπαξ οὐχ ὑγιαίνει τῇ ψυχῇ) ὡς νομίσας τοῦτο αὐτὸ συμφέρειν ἐν τῷ παρόντι βίῳ. εἶπε δὲ τὸ πευσόμενος κατ’ ἐπανάληψιν, ἐπειδὴ ἐπερησόμενος προειπὼν ἔθηκε διὰ μέσου, τὸν ἐμὸν μὲν, μέχρι τοῦ βίον. ⟧ —ὡς: Εἰς. Cant. 1. 2. ἀντὶ τοῦ πρὸς τὸν θεόν. V. τὸν ἐμὸν μὲν αὐτοῦ: Ἀντὶ τοῦ ἐμοῦ αὐτοῦ Ἀττικῶς.

sch plut 33 Junt. ⟦ τοῦ ταλαιπώρου: Τοῦ τλητικοῦ, ἢ τοῦ τετληκότος. ταλαίπωρος δὲ παρὰ τὸ τλῆναι τὸν πῶρον, ὅ ἐστι πένθος. ὅτι δὲ πῶρος πένθος ἐστὶ, καὶ Ἀντίμαχός φησι, πῶρός τοι ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. ⟧ ἐπερωτῶν πρὸς τὸν Ἀπόλλωνα ᾠχόμην, τὸν ἐμὸν, φησὶ, βίον νομίζων ἐκτετοξεῦσθαι, ὅ ἐστιν ἐξαναλωθῆναι, ἀπὸ μεταφορᾶς τῶν τοξευόντων καὶ ἐκδαπανώντων τὴν φαρέτραν.

sch plut 34 Ἄλλως. ἀντὶ τοῦ ἐξοίχεσθαι πρὸς ἀπόληξιν τῆς ἐν αὐτῷ διατριβῆς ἐκπίπτοντα. Ἄλλως ἀπολέσθαι· ἀπὸ τῶν τοξευομένων, ἢ τῶν ὅλα τὰ βέλη ἀφιέντων τοξοτῶν. V. ἐκκενωθῆναι. V. ἐγγὺς ἀπωλείας εἶναι διὰ τὸ γῆρας. V. ἐκτετοξεῦσθαι: Τετελειῶσθαι, ἀνηλῶσθαι, ἐκ μεταφορᾶς τῶν τοξευόντων, ὅταν τὴν φαρέτραν κενώσωσιν. Junt. ἐκκεκενῶσθαι, ἀνηλῶσθαι· ἀπὸ μεταφορᾶς τῶν ἐν τῇ τοξείᾳ ἀναλισκόντων τὰ βέλη. R. ὑπολαμβάνων κατηναλῶσθαι, ἠφανίσθαι τὴν περιουσίαν. Br. ἐκ μεταφορᾶς εἴρηται τοῦτο τῶν τοξοτῶν, ὅταν τοξεύοντες πάντας τοὺς ἑαυτῶν οἰστοὺς ἀφήσωσιν. B. τὸν δ’ υἱόν: Ἀντὶ τοῦ περὶ τοῦ υἱοῦ Ἀττικῶς.

sch plut 35 καὶ Μένανδρος ἐν Περικειρομένῃ, τὸ δὲ κεφάλαιον οὔπω λογίζομαι τὸν δεσπότην. V. πευσόμενος: Ἐρωτήσων.

sch plut 36 Dv. τοὺς δικαίους. R. διαβάλλει τὸ δίκαιον τῶν Ἀθηναίων.

sch plut 37 Ἄλλως. ἀντὶ τοῦ μηδὲν τῶν δικαίων φρονεῖν αὐτόν. V. εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων σκώπτει. V. (a m. sec.) R. ἔλακεν ἐκ τῶν στεμμάτων: Ἡ λέξις Εὐριπίδου.

sch plut 39 ἀντὶ τοῦ ἔχρησε. G. (τραγικώτερον δὲ τοῦτο ἐξ Εὐριπίδου, διασύρων τὸν Εὐριπίδην. οἱ γὰρ τρίποδες δάφνῃ ἦσαν ἐστεμμένοι καὶ ἡ προφῆτις. Ἄλλως.) ἀπὸ τῶν στεμμάτων τῆς προφήτιδος· ἐστεφανηφόρει γὰρ ἡ Πυθία (δάφνῃ. τινὲς δὲ καὶ θεσφάτων. Ἄλλως. γράφεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκεμμάτων,) ἐπεὶ οἱ μαντευόμενοι ἐγγράφῳ ἀνακοινώσει πρὸς τὸν θεὸν τὰς πεύσεις ἐποιοῦντο, γεγραφότες ἐν πυκτίῳ τὸ κατὰ προαίρεσιν αὐτοῖς κείμενον, στεφάνῳ τε ἀμφιέσαντες ἁβρῷ, τῇ μαντιπόλῳ ἐχειροτόνουν· ἡ δὲ ἐντυχοῦσα σύμφωνον τοῖς προτεινομένοις ἐποιεῖτο τὴν ἀπόκρισιν. οἱ δὲ, ὅτι ἐν μέσῳ τῶν στεφάνων καθημένη ἔλεγεν ἡ Πυθία· ἢ ὅτι δάφνῃ ἔστεπτο ὁ τρίπους, ἐφ’ οὗ καθῆστο ἡ Πυθία· καὶ ἀλλαχοῦ [Eq. 1016] «ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.» —Ἄλλως. στέφανοι ἐπὶ τοῦ τρίποδος ἔκειντο, οὓς ἡ Πυθία ἐν τῇ κεφαλῇ φοροῦσα ἐμαντεύετο. [ἢ τὸν τρίποδα λέγει διὰ τὸ κυκλοτερὲς αὐτοῦ. Dv.] ἦν δὲ ἡ Πυθία γυνὴ, ἥτις, ὥς φασιν, ἐπικαθημένη τῷ τρίποδι τοῦ Ἀπόλλωνος, καὶ διαιροῦσα τὰ σκέλη πονηρὸν κάτωθεν ἀναδιδόμενον πνεῦμα διὰ τῶν γεννητικῶν ἐδέχετο μορίων, καὶ οὕτω μανίας πληρουμένη, καὶ τὰς τρίχας λύουσα, καὶ ἀφρὸν ἐκ τοῦ στόματος ἀποπέμπουσα, καὶ τἄλλα πάντα ποιοῦσα, ὅσα οἱ μαινόμενοι ποιεῖν εἰώθασιν, τὰ τῆς μαντείας, ἢ μᾶλλον μανίας, ἐφθέγγετο ῥήματα· ἢ καὶ δαίμων τις ἦν οὕτω καλούμενος πύθων, ἀφ’ οὗ ἡ Πυθία παρωνομάζετο· ἢ καὶ αὐτὸς ὁ Ἀπόλλων Πύθιος ὀνομαζόμενος, διὰ τὸ τοῖς πυνθανομένοις χρησμοὺς διδόναι περὶ ὧν ἂν βούλοιντο. Junt. ⟦ πεύσει: Οἱ Ἀττικοὶ τὰ τῶν παθητικῶν χρόνων δεύτερα πρόσωπα ἀεὶ διὰ διφθόγγου γράφουσιν.

sch plut 40 ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις· οὗτος γὰρ, εἴπερ τις, τῇ Ἀττικῇ διαλέκτῳ χρῆται. ἡ δὲ κοινὴ διάλεκτος μόνου τοῦ βούλει, καὶ ὄψει, καὶ οἴει τὰ ἐνεργητικὰ μὴ ἐν χρήσει εὑροῦσα, τῇ Ἀττικῇ ἑπομένη συνηθείᾳ ἀεὶ διὰ διφθόγγου τὰ τρία ταῦτα ἐκφέρει. ἀπαγορευτικοῦ δὲ ἢ αἰτιολογικοῦ μορίου τεθέντος, οἱ Ἀττικοὶ οὐχ οὕτω τὰ δεύτερα πρόσωπα ἐκφέρουσιν, ὡς εἴρηται, ἀλλ’ ὑποτακτικῶς. ⟧ εἶπε: Ἐμαντεύσατο. V. ἐξιών: Ἐκ τοῦ ἱεροῦ δηλονότι.

sch plut 41 R. V. μὴ μεθίεσθαί μ’ ἔτι: Τὸ μεθίημι ἐνεργητικῶς πρὸς αἰτιατικὴν συντάσσεται· ὡς Συνέσιος [Epist.

sch plut 42 4, p. 161, D] «μεθῆκε τὸ πηδάλιον ἐκ τῶν χειρῶν.» παθητικῶς δὲ πρὸς γενικὴν, ὡς ἐνταῦθα. Junt. μὴ μεθίστασθαι μηδὲ ἀναχωρεῖν. V. πείθειν: Ἐκεῖνον· πείθειν δ’ ἐκεῖνον ἐμοὶ ξυνακολουθεῖν ἕως εἰς τὸν οἶκον.

sch plut 43 Dv. ξυνακολουθεῖν: Σὺν αὐτῷ πορεύεσθαι. Cant. 2. τῷ ξυναντὰς: Τούτῳ συναντίσας.

sch plut 44 Dv. τῷ: Τίνι. E. οὐ ξυνίης: Οὐ νοεῖς.

sch plut 45 R. οὐ γινώσκεις. V. τὴν ἐπίνοιαν: (Τὸ αἴνιγμα,) τὴν γνώμην καὶ τὴν κληδόνα. R. V. σκαιότατε: ἀπαίδευτε.

sch plut 46 V. Θ. Br. τὸν ἐπιχώριον τρόπον: Τὴν ἐπιχώριον πολιτείαν (τῶν Ἀθηναίων).

sch plut 47 αἰνίττεται δὲ αὐτῶν ἤτοι τῆς πολιτείας τὸ ἰταμόν τε καὶ δυσοικονόμητον. —μετέρχεσθαι τὸ τῆς χώρας ἔθος. Θ. τῷ τοῦτο κρίνεις: Τίνι σημείῳ τοῦτο κρῖναι θέλεις.

sch plut 48 V. ποίῳ σημείῳ. R. ἐν τίνι πράγματι καὶ σημείῳ. Θ. καὶ τυφλῷ: (ἤτοι) πρὸς τὸν Πλοῦτον αἰνιττόμενος, ἢ τὸν πηρὸν τῷ νῷ· (νοῦς γὰρ ὁρᾷ καὶ νοῦς ἀκούει. καὶ καθάπερ ὁ τυφλὸς τὴν πορείαν εὐθεῖαν οὐ ποιεῖται. πρὸς τὸ Ὁμηρικὸν δὲ [Od. Θ, 195] καί κ’ ἀλαός τοι ξεῖνε διακρίνειε τὸ σῆμα. τυφλῷ δὲ οὐχὶ ὀφθαλμοὺς, ἀλλὰ τὴν καρδίαν, ὅ ἐστιν ἀνοήτῳ. παροιμία δ’ ἐστὶ, τυφλῷ δῆλα τὰ μαρτύρια. τὸ δὲ ἑξῆς, ὅτι σφόδρα ἐστὶ τοῦτο συμφέρον, τὸ μηδὲν ὑγιὲς ἀσκεῖν.) —Ἄλλως. παροιμία ἐστὶ, τῷ τυφλῷ δῆλον, ἐπὶ τῶν πάνυ σαφεστάτων λεγομένη· τὰ γὰρ τοῖς τυφλοῖς δῆλα τοῖς βλέπουσι σαφέστατα σφόδρα. λέγει δὲ, ὡς ὁ κελεύσας σε τυφλῷ ἀνδρὶ ἐπακολουθεῖν δῆλόν σοι ἐντεῦθεν καθίστησιν, ὡς καὶ τυφλὸς ἂν γνοίη τοῦτο, ὡς ὃ πάντες μετέρχονται, τοῦτο δεῖ καὶ τὸν σὸν υἱὸν μετελθεῖν. ἢ ὅτι ἐπειδὴ πάντες τὴν ἄδικον πολιτείαν μετέρχονται, εἶπέ σοι ὁ Ἀπόλλων, ὡς ᾧ ἂν ἐντύχοις, πάντως τοιοῦτος ἔσται· καὶ ἀκολούθει αὐτῷ, ἤγουν τὴν αὐτὴν αὐτῷ καὶ σὺ μετέρχου ὁδόν. Junt. δηλονοτιὴ: Φανερὸν γὰρ ὅτι. γνῶναι:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νοῆσαι. Dv φανερόν ἐστιν ὅτι καὶ τυφλῷ νοῆσαι δοκεῖ τοῦτο. Br. φανερόν ἐστι ... τυφλῷ εἰς τὸ νοῆσαι. Θ. σφόδρα .

sch plut 49 .. συμφέρον: Ὅτι λίαν ὠφέλιμον. Θ. ἀσκεῖν ὑγιὲς: Μετέρχεσθαι δίκαιον.

sch plut 50 Θ. ῥέπει: Φέρεται, ἀποβλέπει, ἐκ μεταφορᾶς τοῦ ζυγοῦ.

sch plut 51 Junt. ὥσπερ ζυγοῦ εἶπεν. R. ἀντὶ τοῦ ἐπιφέρεται. μεταφορικῶς ἀπὸ τοῦ ζυγοῦ. V. ὁ Πλοῦτος, πίνος ἕνεκεν ἐπὶ τὸ αὐτὸ ἀπήντησεν, εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐν Δελφοῖς.

sch plut 54 V. εἰς Δελφούς. R. τίνος χάριν ἦλθεν εἰς τὸ χρηστήριον τοῦ Ἀπόλλωνος. καὶ τίνος χρείαν εἶχεν σὺν ἡμῖν εἰς Δελφούς. Θ. τὸν χρησμὸν ἡμῶν, ὅτι νοεῖ: Καὶ Πλάτων Νόμων η′ [p.

sch plut 55 837, E] «τὸν δὲ νόμον ὑμῶν ὅ τι νοεῖ περὶ τὰ τοιαῦτα οὐδέν με ἐξετάζειν δεῖ.» Junt. ὅ τι σημαίνει. R. ἢ τἀπὶ τούτοις: Τὰ ἐπὶ τῇ ἀπειλῇ· καὶ γὰρ ἡ πεῦσις ἄνω ἀπειλητική.

sch plut 57 λέγει οὖν, βέλτιόν σοί ἐστιν ἐξειπεῖν λόγῳ πεισθέντα ἢ βιασθέντα· ἢ ὡς μὴ λέγοντός σου, βίαιόν τι διαπράξομαι. Ἄλλως. ἢ τἀπὶ τούτοις: Ἤγουν τὰ ἀκόλουθα τοῖς μὴ ἐθέλουσιν ἑαυτοὺς ἐκφαίνειν. τὰ δὲ ἐστὶ πληγαὶ καὶ τραύματα. λέγειν χρὴ: Τὸ λέγειν ἐπὶ τοῦ προφορικοῦ λόγου λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ ὀνομάζειν καὶ ἐπὶ τοῦ φράζειν. Junt. πρὸ τοῦ τυφθῆναί σε. Θ. οἰμώζειν: Οἰμώζω, τὸ θρηνῶ.

sch plut 58 ἀφ’ οὗ οἰμωγὴ, ὁ θρῆνος, καὶ οἴμωγμα οὐδετέρως παρ’ Αἰσχύλῳ [Sept. 8] οἰμώγμασίν θ’ ὧν Ζεὺς ἀλεξητήριος. ἐκ τούτου δοκεῖ καὶ οἴμοι θρηνητικὸν ἐπίρρημα γίνεσθαι. Ms. ap. Br. σκαιῶς: Ἀπαιδεύτως, σκληρῶς, ἀποτόμως.

sch plut 60 Θ. τοῦτο πρὸς τὸν Πλοῦτον.

sch plut 61 πρόσκεισαι. εὐσεβοῦς, δικαίου. ἀποστροφὴ τὸ σχῆμα. Θ. ἀντὶ τοῦ εὐσεβοῦς. (ἀπὸ μέρους δὲ ἀγαθοῦ.) R. V. κλᾄειν: Ἀττικῶς ἀντὶ τοῦ κλαίειν.

sch plut 62 Borg. δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν: Τὴν κληδόνα, (τὴν μαντείαν,) καὶ τὸ σύμβολον.

sch plut 63 οὕτως ὁ Ῥόδιος Ἀπολλώνιος [1, 304] «μηδ’ ὄρνις ἀεικελίη πέλε νηΐ.» κοινῶς γὰρ πᾶν σύμβολον ἐκφευκτικὸν ἢ προτρεπτικὸν ὄρνιν καλοῦσιν. ὄρνις, ἐπιφώνησις πταρμὸς, καὶ τὰ τοιαῦτα, ὡς αὐτὸς ἐν Ὄρνισι [720] ἐδήλωσεν. Ἄλλως. τὴν μαντείαν τοῦ Ἀπόλλωνος ὄρνιν λέγει, ἐπειδήπερ οἱ παλαιοὶ οὐ μόνον διὰ τῶν ἄλλων, ἀλλὰ καὶ δι’ ὀρνίθων ἐμαντεύοντο. —καὶ ὅτι οἱ παλαιοὶ πᾶν τὸ ἐπὶ σημείῳ καὶ τεκμηρίῳ τινὶ παραλαμβανόμενον ὄρνιν ἐκάλουν, ἀπὸ μεταφορᾶς καὶ τὸ μάντευμα καὶ τὸ σύμβολον. Junt. ⟦ μὰ τὴν Δήμητρα: Εἰκότως ταύτην ὅρκον λαμβάνει ὡς γεωργός· ἡ γὰρ Δημήτηρ τῆς γῆς ἔφορος.

sch plut 64 ⟧ — διὰ τὸ μὴ φράσαι οὐκέτι χαιρήσεις. V. ἢν μὴ φράσῃς: Ἐὰν μὴ εἴπῃς.

sch plut 65 Br. ὦ τᾶν: Ἀντὶ τοῦ ὦ ἑταῖρε.

sch plut 66 τινὲς δὲ λέγουσιν ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ τᾶν, ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρατῖνος «ἆρά γε, ὦ τᾶν, ἐθελήσετε.» ⟦ Ἄλλως. ὦ τᾶν, ὦ φίλοι, πληθυντικῶς νοητέον. ἢ ἀντὶ τοῦ ὦ φίλε. ἵν’ ᾖ τὸ μὲν ὦ τᾶν πρὸς μόνον τὸν Χρεμύλον· οὗτος γὰρ αὐτῷ ἠπείλει· τὸ δὲ ἀπαλλάχθητον πρὸς ἀμφοτέρους· ἐπειδὴ καὶ ἄμφω τούτῳ ἠνώχλουν. ὃ καὶ κρεῖττον. εἰώθαμεν γὰρ ἐν τῇ κοινῇ συνηθείᾳ ἔστιν ὅτε τοὺς λόγους οὕτω ποιεῖσθαι. ⟧ πώμαλα: Ἀντὶ τοῦ οὐδαμῶς· ἔστι δὲ Ἀττικόν· (ἔστι γὰρ ἐπίρρημα ἀρνήσεως.) (καὶ μὴν ὃ λέγω: Τινὲς ἓν πρόσωπον αὐτὸ εἶναι λέγουσι τοῦ δούλου ἀπὸ τοῦ πώμαλα ἕως τοῦ ἐκτραχηλισθῇ πεσών.

sch plut 67 ) ἐκτραχηλισθῇ: Τὸν τράχηλον κατακλασθῇ (R.

sch plut 70 V.), ἐκσπονδυλισθῇ. Junt. ἀλλ’ ἢν πύθησθέ μ’ ὅστις εἴμ’ ἐγώ: Οὕτω τὴν αἰτιατικὴν ἀντὶ γενικῆς, καὶ ἀντὶ δοτικῆς τὴν αἰτιατικὴν Ἀττικοὶ λέγουσιν, ⟦ ὡς Θουκυδίδης [1, 28] «εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλατταν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 72 » καὶ Σοφοκλῆς [Aj. 584] οὐ γάρ μ' ἀρέσκει γλῶσσά σου τεθηγμένη. ἀντὶ τοῦ οὐ γάρ με. ⟧ ὡς ἐπὶ ἀψύχου τὸ ἀναθείς. ἢ διὰ τὸ τυφλὸν αὐτὸν εἶναι. ἐὰν βούλῃ γε σύ: ⟦ Τοῦτο διττῶς νοητέον.

sch plut 74 νὴ τοὺς θεοὺς ἀφήσομέν σε, ἂν βούλῃ γε σὺ εἰπεῖν ὅστις εἶ. ἢ οὐκ ἀφήσομεν, ἐὰν βούλῃ σὺ μὴ εἰπεῖν ὅστις εἶ. ⟧ —ἐὰν βούλῃ καὶ δοκῇ σοι, ἀφήσομέν σε. τοῦτο γὰρ προσληπτέον. V. ἡμεῖς γ', ἐὰν βούλῃ, ἀπολύομεν. τοῦτο δέ φασιν ἀπολύσαντες αὐτόν. Ἄλλως. ἐὰν δὲ σοὶ δοκῇ, τουτέστι τὸ ἀπολυθῆναι. προσληπτέον τὸ ἀφήσομεν. V. a manu sec. μέθεσθε παροξύτόνως οἱ Ἀττικοὶ λέγουσιν.

sch plut 75 R. Εἰρηναῖός φησι παροξυτόνως Ἀττικοὺς λέγειν τὸ μέθεσθε. V. ἠνὶ: Ἰδού. Dv., Br. μέθεσθε ἀντὶ τοῦ ἀπολείφθητε καὶ πόρρω γίνεσθε. κανόνισον· ἵημι τὸ καταλείπω, ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἧν. ὁ μέσος ἕμην, ἕσο, καὶ τὸ προστακτικὸν ἕσο, καὶ ἐκβολῇ τοῦ ς, καὶ κράσει τοῦ ε καὶ ο εἰς ου δίφθογγον οὗ, καὶ μετὰ τῆς μετά προθέσεως καὶ συγκοπῆς καὶ τροπῆς τοῦ ψιλοῦ εἰς δασὺ, μεθοῦ, μεθέσθω, μέθεσθον, μεθέσθων, μέθεσθε, μεθέσθωσαν. P. ⟦ ἦ παρεσκευασμένος: Τὸ ἦ ἄνευ τοῦ ν ἀντὶ τοῦ ἤμην.

sch plut 77 οἱ γὰρ Ἀττικοὶ τὸ ἦν καὶ ὑπῆρχον ἐγὼ ἦ φασιν, οὕτως· ἀπὸ τοῦ εἰμὶ τὸ ὑπάρχω γίνεται ὁ παρατατικὸς εἶν διὰ διφθόγγου· (ὡς καὶ ἀπὸ τοῦ εἴδημι ᾔδειν· P.) καὶ διαλύσει Ἰωνικῇ τῆς ει διφθόγγου εἰς ε καὶ α γίνεται ἔα, ὡς καὶ τὸ ᾔδεα, καὶ τὸ τιθεῖσι τιθέασιν. ἡ χρῆσις δὲ παρ' Ὁμήρῳ [Il. E, 887], ὡς τὸ «οὐ γὰρ ἀμενηνὸς ἔα·» εἶτα κιρνῶντες τὸ ε καὶ α εἰς η, ἦ φασὶν, ὡς καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς εὑρήσεις. ⟧ —ἀντὶ τοῦ ἤμην. R. τινὲς ἄνευ τοῦ ν αὐτὸ γράφουσι τὸ η μόνον ἀφιέντες. ἀντὶ τοῦ ἤμην, κατ' ἔλλειψιν τοῦ ν. οἱ δὲ ὅτι ἐπὶ τρίτου προσώπου τίθεται τὸ ῥῆμα. ὅτι δὲ τάσσεται καὶ κατὰ τοῦ ἤμην δῆλον ἐκ τοῦ Ὁμήρου [Il. Ω, 426; Od. T, 315] «εἴποτ' ἔην γε.» V. μιαρώτατε ἀνδρῶν ἁπάντων: (Πεφυλαγμένως ποιεῖται τὴν πρὸς τοὺς θεοὺς ὑπέρθεσιν, ἵνα μὴ θεῶν ὑπερτιθεὶς, κἀκείνους πάθει ὑποτάξῃ.

sch plut 78 ἢ ὅτι ἐν σχήματι ἀνδρὸς ἐφάνη ὁ Πλοῦτος.) δεῖ δὲ ἐννοεῖν τὸν Πλοῦτον ῥυπῶντα καὶ ταπεινὸν ὄντα τὸ σχῆμα. ⟦ εἶτ' ἐσίγας: Εἰ μὲν οὕτω τὴν σύνταξιν τρέψεις, τὸ εἶτα ἀργὸν ἐρεῖς, καθὼς ἐν ταῖς ἀποδόσεσι τῶν μετοχῶν ποιεῖν εἰώθαμεν.

sch plut 79 ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων, ὢν Πλοῦτος εἶτα ἐσίγας. εἰ δὲ τὸ εἶτα ἐν ἀρχῇ θήσεις; οὐκ ἀργὸν νοήσεις. εἰώθαμεν γὰρ ἐν τοῖς τῆς βαρύτητος σχήμασιν ἐν ἀρχαῖς πολλάκις τιθέναι τὸ εἶτα, οὕτως· εἶτα ὦ μιαρώτατε ἀνδρῶν ἁπάντων ὢν Πλοῦτος ἐσίγας; ⟧ αὐτότατος: Ἡ αὐτότατος ἀντωνυμία πέπαικται κωμικῶς.

sch plut 83 τὰ γὰρ ἀόριστα τῶν πραγμάτων ἀνεπίτατα. εἰ οὖν ἡ ἀντωνυμία ἐπὶ οὐσίας παραλαμβάνεται, κατὰ τοῦτο ἐπίτασιν οὐ δέχεται, ὡς τὰ ἄλλα μέρη. ⟦ Ἄλλως. ἔπαιξεν αὐτότατος ὑπερθετικῶς εἰπὼν, ἵνα δείξῃ, ὡς ἀληθῶς αὐτός ἐστιν· ὥσπερ καὶ τὸ μονώτατος. ἰστέον δὲ ὅτι τὸ μὲν μονώτατος εὕρηται ἐν τοῖς λογοποιοῖς, τὸ δὲ αὐτότατος οὔ. ⟧ —αὐτότατος οὐ λέγεται, ὡς οὐδὲ ἐγώτατος ἀπὸ τοῦ ἐγώ. τοῦ γελοίου δὲ χάριν οὕτω πέπαικται. Θ. τὸν Πατροκλέα κωμῳδεῖ ὡς Ἀθηναῖον μὲν καὶ πλούσιον, σκνιπὸν δὲ καὶ φειδωλόν.

sch plut 84 ἦν δὲ τραγῳδίας ποιητὴς, ἄλλως δὲ καὶ κακόβιος καὶ φιλοχρήματος, ὡς καὶ ἐν τοῖς Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. (ἦν δὲ οὗτος εἷς τῶν τὸν Λακωνικὸν ζηλούντων βίον. Ἄλλως. οὗτος ὁ Πατροκλῆς Ἀθηναῖος φιλοχρήματος, ὃς ἐφύλαττε τὰ χρήματα καὶ ἦν ῥυπαρὸς τῷ βίῳ καὶ ηὔχμει.) — ἐκ Πατροκλέους: Ἐκ τῆς οἰκίας τοῦ Πατροκλέους. Brunck. τουτὶ δὲ τὸ κακὸν: Ἤγουν τὴν τύφλωσιν.

sch plut 86 Br. φθονῶν: Φθόνος παρὰ τοῖς φιλοσόφοις, ἡ ἐπ' ἀλλοτρίοις ἀγαθοῖς λύπη, ἤτοι ἡ ζηλοτυπία, ὡς ἐνταῦθα· παρὰ δὲ τοῖς ῥήτορσιν ἡ μέμψις, ὡς Εὐριπίδης [Hec.

sch plut 87

Eulogikon public reading copy · View original HTML at eulogikon.org

288] «ἀποκτείνειν φθόνος γυναῖκας.» Junt. ἐγὼ γὰρ ὢν μειράκιον: Τοῦτό φησιν, ἵνα τὸ προπετὲς τῆς ῥήσεως ἀναφέρῃ ἐπὶ τὸ ἐξημμένον καὶ δόξῃ συγγνώμην ἔχειν ἡ ἁμαρτία, ὅτι μειράκιον ὢν ἠπείλησε.

sch plut 88 καὶ μὴν οὐκ ἔστιν ἁμάρτημα τὸ τοὺς μὲν φαύλους καταλιπεῖν ὁμολογῆσαι, καταλαβεῖν δὲ τοὺς χρηστούς. πῶς οὖν ὁ Ζεὺς νοούμενος εἰς τὸ πρῶτον αἴτιον, καὶ μᾶλλον βουλόμενος τοὺς ἀγαθοὺς εὖ πράττειν, ἐτύφλωσε τὸν Πλοῦτον εἰπόντα τοῦτο; λέγομεν οὖν, ὅτι εἰ πάντως τοῖς ἀγαθοῖς καὶ τοῖς ἀρετὴν ἀσκοῦσι παρείπετο τὸ πλουτεῖν, πάντες ἂν διὰ τὸ πλουτεῖν μετῄεσαν τὴν ἀρετὴν, οὐ δι' αὐτὴν τὴν ἀρετήν. ὁ δὲ Ζεὺς βουλόμενος τοὺς ἀνθρώπους οὐ διά τι χρήσιμον καὶ ἐπωφελὲς τὴν ἀρετὴν μετιέναι, ἀλλὰ δι' αὐτὴν τὴν ἀρετὴν, τοῖς ταύτην ἀσκοῦσι καὶ ἀποτυχίαν χρημάτων ἔσθ' ὅτε δίδωσιν ἐν τῷ βίῳ, ἵνα ἕκαστος ἐφίηται τῆς ἀρετῆς δι' αὐτὴν τὴν ἀρετὴν, καὶ μὴ διὰ τὸ ἐλπίζειν ὅτι πάντως διὰ τῆς ἀρετῆς εὐπορήσει χρημάτων. ὁ δέ μ' ἐποίησε τυφλόν: Ἐπεὶ ἔμελλεν ἀνατρέπειν τοὺς ἀδίκους, οὐκ εἴασεν ὁ Ζεύς.

sch plut 90 τῷ μὲν γὰρ Πλούτῳ συνέφερεν, ὅτι καλῶς αὐτῷ ἐχρῶντο, ἐκεῖνοι δὲ οὔ. V. παρῴδηται ἐκ τῶν Ἡσιόδου [Op. 42] κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν. ἢ ὅτι ἀνόσιος ὁ διὰ τῆς ἀρετῆς τοῦ πλούτου φόρτος τοῖς δικαίοις, εἰ χαυνωθεῖεν ἐκ περιουσίας. ⟦ διὰ τοὺς χρηστούς γε: Ἰστέον ὅτι ἡ διά πρόθεσις οὐ μόνον γενικῇ συντάσσεται, ὅταν δηλοῖ ἐνέργειαν, ἀλλὰ καὶ αἰτιατικῇ, ὡς ἐνταῦθα· εὑρήσεις δὲ τοῦτο καὶ ἐν πολλοῖς τῶν λογοποιῶν.

sch plut 93 καὶ μὴν ὅταν δηλοῖ αἰτίαν, αἰτιατικῇ μὲν ὡς ἐπὶ τὸ πολὺ συντάσσεται· ἀλλὰ καὶ πρὸς γενικὴν εὕρηται σπανίως. ⟧ ὁμολογῶ σοι: Ἀντὶ τοῦ συναινῶ σοι.

sch plut 94 R. συμφωνῶ σοι, ὅμοιά σοι λέγω ἐν τούτῳ· εὑρίσκεται δὲ καὶ πρὸς αἰτιατικήν. Junt. φέρε, τί οὖν; ἄγε δή. ἔστι δὲ μετάβασις τοῦ λόγου. R. V. ἤδη: ἀντὶ τοῦ λοιπὸν ταχέως.

sch plut 96 R. V. ὡς: ἀντὶ τῆς πρός.

sch plut 97 V. πολλοῦ γὰρ αὐτοὺς: Διὰ τὸν ἐπιχώριον τρόπον· ταῦτα γὰρ εἰς τὴν τῶν Ἀθηναίων φησὶ πολιτείαν, ἀποσκώπτων ⟦ αὐτοὺσ ⟧ ὡς πονηρούς.

sch plut 99 καὶ θαῦμά γ' οὐδέν: Οὐδέν φησι παράδοξον, εἰ τυφλὸς ὢν οὐχ ἑώρακας—αὐτοὺς, ἐπεὶ καὶ ἐγὼ βλέπω μὲν, ἀλλὰ νῦν γε αὐτοὺς οὐχ ὁρῶ. V. ἴστον: ἀντὶ τοῦ ἐγνώκατε.

sch plut 100 τὸ δὲ ἴστον δυϊκόν. ἀντὶ τοῦ ἐάσατε· ἐγνώκατε γάρ. V. ἀντεχόμεθά σου, ἐπειδὴ Πλοῦτος εἶ.

sch plut 103 καὶ σύ γ', ἀντιβολῶ: Πεποίηται παρὰ τὸ ἄντομαι καὶ βάλλω τὸ ἀντιβολῶ. [ἔχει δὲ τὴν ὁρμὴν πρὸς τὸ «ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεθά σου.» τὸ δὲ οὐκ ἠγόρευον ὥσπερ διὰ μέσου.] τὸ δὲ πιθοῦ περισπᾶται· ἔστι γὰρ δεύτερος ἀόριστος, (ὡς καὶ ἡ γραφὴ δηλοῖ καὶ τὸ μέτρον βούλεται). τούτους δὲ οἱ Ἀττικοὶ περισπῶσι καὶ ἡ χρῆσις ἠκολούθησε τῇ διαλέκτῳ. ἡ γὰρ ἀναλογία βαρύνει, ὥς φησιν Ἀπολλώνιος. μὰ τὸν Δία: Τὸ μὰ τὸν Δία ἢ πρὸς τὸ ὄπισθεν σύναπτε, καὶ μόνον λέγε, ἵν' ᾖ βεβαιωτικὸν τοῦ οὐχ εὑρήσεις, ἢ πρὸς τὸ ἐπαγόμενον σύναπτε.

sch plut 106 Junt., P. ἀτεχνῶς: Ἀντὶ τοῦ ἁπλῶς, καθάπαξ, (ὅ ἐστιν ἑνὶ λόγῳ, ἀληθῶς.

sch plut 109 τέχνη γὰρ ὁ δόλος παρὰ τοῖς Ἀττικοῖς· τὸ δὲ ἄνευ δόλου ἀληθές.) ὁ γὰρ τόνος διαστέλλει τὸ σημαινόμενον, τήν τε τῆς τέχνης στέρησιν καὶ τὸ διάφορον τῆς χρήσεως. ἀτεχνῶς οἱονεὶ ἀτενῶς μετὰ περισσοῦ τοῦ χ. (Ἄλλως. ἁπλῶς, ἄνευ τέχνης· ἐκ μεταφορᾶς τῶν ἀθλητῶν τῶν μὴ τέχνῃ νικώντων, ἀλλὰ δυνάμει. ἢ καθάπαξ, ἢ ἀδόλως. ἐὰν δέ τις παρὰ τὴν τέχνην λέγῃ τι ἢ ποιῇ, οὐκέτι περισπωμένως, ἀλλὰ βαρυτόνως· ἀτέχνως ποιεῖς, ἀτέχνως λέγεις. ὁ δὲ νοῦς, κἂν φύσει τις ᾖ χρηστὸς, ἐπὶ τὸ χεῖρον μεθίσταται ὑπὸ τῶν χρημάτων.) ⟦ ὑπερβάλλουσι: Ὑπερβάλλω καὶ ὑπερβάλλομαι τὸ αὐτὸ, ὡς ποιῶ καὶ ποιοῦμαι· καὶ συντάσσεται πρὸς μὲν τὸ πρόσωπον αἰτιατικῇ, πρὸς δὲ τὸ πρᾶγμα δοτικῇ, οἷον, ὑπερβάλλω τὸν δεῖνα λόγῳ. ὑποβάλλω δὲ λόγους, ἀντὶ τοῦ ὑποτίθημι· ὅθεν καὶ τὸ «ὑποβλήδην» παρ' Ὁμήρῳ [Il. A, 292] · καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποβάλλω βρέφος· ὅθεν καὶ τὸ ὑποβολιμαῖος· καὶ ὑποβάλλομαι παθητικῶς, ἀντὶ τοῦ ὑπόκειμαι· καὶ ὑποβάλλεται ἡ θεμέλη τῷ τοίχῳ ἀντὶ τοῦ ὑποτίθεται· καὶ ὑποβάλλεται ὁ χόρτος τῇ στρωμνῇ. προβάλλω τὸ εἰς τοὔμπροσθεν τίθημι, ἀφ’ οὗ πρόβολοι· προβάλλομαι δὲ μάρτυρα. Junt ⟧ ὑπερβάλλουσι τῇ μοχθηρίᾳ: Τῇ κακίᾳ ἐπὶ τὸ χεῖρον μεθίστανται ὑπὸ τῶν χρημάτων. Junt. ἀλλ’ ἁπαξάπαντες: (Δύο μέρη τοῦ λόγου τὸ ἁπαξάπαντες.

sch plut 111* ) οὐ φησὶ πάντες, ἀλλ’ ὁμοῦ πάντες. τὸ γὰρ ἅπαξ ἐπὶ ἐπιτάσεως λαμβάνεται. (ὑφ’ ἓν δὲ ταῦτα τάττει· καὶ προφέρονται ὡς δηλαδὴ, ἁπαξαπλῶς.) ὅρμησόν σου τὸν νοῦν, καὶ ὅρα ἵνα μάθῃς.

sch plut 113 V. τῆς ὀφθαλμίας: Ἀντὶ τοῦ τῆς πηρώσεως· ἰδίως δὲ ὀφθαλμίαν τὴν πήρωσιν τῶν ὀφθαλμῶν φησι· διὸ καὶ ἐν τῷ δευτέρῳ μεταπεποίηται τῆς συμφορᾶς ταύτης σε παύσειν ἧς ἔχεις.

sch plut 115 ⟦ Ἄλλως. ὀφθαλμία κυρίως ἡ κατὰ τοὺς ὀφθαλμοὺς ἀπὸ νοσήματός τινος γινομένη βλάβη, ἥτις καὶ ἰάσιμός ἐστιν· ἐνταῦθα δὲ ἀντὶ τῆς τυφλώσεως παρείληπται· τύφλωσις γάρ ἐστιν ἡ παντελὴς τῆς ὁράσεως στέρησις. Junt. ⟧ ὁ Ζεὺς μὲν οὖν εἰδὼς τὰ τούτων: Τὰ τῶν ἀνθρώπων πάντα εἰδὼς, ἐπεὶ οὐδὲν αὐτὸν λανθάνει· μεταπεποίηται δὲ καὶ τοῦτο ἐν τῷ δευτέρῳ.

sch plut 119 —Ἄλλως εἰ μὲν γράφεται μῶρ’ ἔμ’ εἰ, οὕτω συνταχθήσεται, ὁ Ζεὺς μὲν εἰδὼς τὰ τούτων μῶρα ἔπη, εἰ πύθοιτο ἐμὲ ἀναβλέψαντα, ἐπιτρίψεταί με. εἰ δὲ μῶρ’ ἔπη, τὸ πύθοιτ’ ἂν διὰ μέσου ἔσται· τουτέστι, γνοίη ἂν ταῦτα καὶ οὐδὲν αὐτὸν λήσεται. Junt. περινοστεῖν ἐᾷ: Ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν.

sch plut 121 R. ἀντὶ τοῦ περιπατεῖν τὸν σφαλλόμενον καὶ καταπίπτοντα. V. (νόστος κυρίως μὲν ἡ ἀπ’ ἀλλοδαπῆς οἴκαδε ἐπάνοδος, καταχρηστικῶς δὲ καὶ ἡ ἀπὸ τόπου [εἰς τόπον μετάβασις καὶ] πορεία.) ⟦ περινοστεῖν ἐᾷ: Περιέρχεσθαι ἀφίησιν, ἀπὸ τόπου εἰς τόπον μεταβαίνειν· ἡ περί ἐνταῦθα τὸ κύκλιον δηλοῖ· τυφλὸν γὰρ ὄντα εἰκὸς μὴ ὀρθῶς βαδίζειν αὐτόν. ὑπονοστεῖν δὲ ἀντὶ τοῦ ὑποχωρῆσαι. Dv. ⟧ ὀρρωδῶ πάνυ: ⟦ Φοβοῦμαι, ἀπὸ τοῦ ὄρρου, ὅ ἐστι μεσοπύγιον τῆς περιστερᾶς· ἔστι γὰρ τρομερὸν τὸ μέρος.

sch plut 122 ⟧ ὀρρωδεῖν κυρίως μὲν ἐπὶ τοῦ τῶν ἀλόγων δέους πεποίηται δὲ παρὰ τὸ σείοντα τὴν οὐρὰν δηλοῦν τὸ δέος. ἢ παρὰ τὸ ἐγκρύπτειν τούτῳ τῷ μέρει τὰ αἰδοῖα κατὰ τὴν τοῦ δέους διάθεσιν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. —ὀρρωδῶ λέγεται τὸ φοβοῦμαι, ἐκ μεταφορᾶς τῶν ζώων τῶν διὰ τῆς οὐρᾶς δεικνύντων τὸ δέος. εἴωθε γὰρ ταῦτα φοβηθέντα συνάγειν τὴν οὐρὰν ἐντὸς τῶν μηρῶν. ἢ ὅτι τῶν φοβουμένων εἴωθεν ὁ ὄρρος πρῶτος ἱδροῦν. P. ὄρρος δέ ἐστι τὸ ἐπάνω τῆς πυγῆς ὀστοῦν, ἐξ οὗ ἡ οὐρὰ τῶν ζώων φύεται. (ὃ καὶ ὀρροπύγιον λέγεται. P.) Junt., P. (ἄληθες: Ἴσον ἐστὶ τῷ ὄντως.

sch plut 123 ἀξιοῦσι δὲ ὀξύνειν τὴν πρώτην, ὅταν τοῦτο δηλοῖ· ἔστι δὲ ἐπίρρημα θαυμασμοῦ, ἀντὶ τοῦ ἀληθῶς λέγεις.) τοὺς κεραυνούς: Τὰ μέγιστα ἀμυντήρια τοῦ Διός· ἐκ δὲ τούτων τὴν δύναμιν αὐτοῦ λέγει.

sch plut 126 κἂν μικρὸν χρόνον: Τὸ κἂν δηλοῖ τὸ καὶ ἐάν· (νῦν δὲ ἐπὶ τῆς συνηθείας, ὃ σπανίως εὕρηται.) (ἆ, μὴ λέγ’: Ἐπίρρημα ἐπιτιμητικόν.

sch plut 127 ) ⟦ ἐπίρρημα τοῦτο ἐκπληκτικόν. Dv. πόνηρε δὲ, ἤγουν γεωργὲ, ἢ ἄθλιε· εὕρηται γὰρ καὶ οὕτως μετατιθεμένου τοῦ τόνου Ἀττικῶς. —ὦ πονηρὲ: Ὅτι πόνηρος ὁ γεωργὸς ἀπὸ τοῦ πονεῖν. πόνηρος ὁ ἀσθενὴς ἀπὸ τοῦ αἴρειν πόνους. πόνηρος ὁ κακότροπος ἀπὸ τοῦ εἴρειν ἢ πλέκειν πόνους. Borg. ⟧ ὅτι μάρτυρος τάξιν ἀναπληροῖ ὁ δοῦλος.

sch plut 132 εἰπὼν δὲ ὁδί τὸν Πλοῦτον δείκνυσι. V. θύουσι δ’ αὐτῷ: Ὅπερ ἐπὶ τῶν δυναστευόντων ἀνθρώπων συμβαίνει, τοῦτο ἐπὶ τοῦ Διὸς μετήγαγεν.

sch plut 133 —θύω σφαγιάζω, ὡς τὸ θύω βοῦν, καὶ συντάσσεται αἰτιατικῇ. θύω δὲ ἀντὶ τοῦ θυσίαν ποιῶ, καὶ συντάττεται δοτικῇ. P. τουτονί: τὸν Πλοῦτον δηλονότι. V. ἄντικρυς: Δι’ ἐναντίας, φανερῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 135 ὁ δὲ ποιητὴς [Il. Γ, 359] ἐκτεταμένως λέγει καὶ δίχα τοῦ ς, «ἀντικρὺ δὲ παραὶ λαπάρην.» ὅτι τί δή: Ἤγουν, πῶς ἂν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τῶν θεῶν παύσω; ἤγουν.

sch plut 136 πῶς ἄρα. ἢ διὰ τίνα τρόπον τοῦτ' ἔλεξας. Junt. ἤγουν τὸ τιμᾶσθαι τὸν Δία καὶ βασιλεύειν τῶν θεῶν πῶς οὖν παύσει, ἀντὶ τοῦ διατί ἢ πῶς ἆρα. P. ὅτι τί δή: Διατί. Br. ἀντὶ τοῦ διὰ τί ἢ πῶς ἄρα. V. θύσειεν: Ὅτι καὶ ἐπὶ τοῦ θυμιάσαι τὸ θύειν.

sch plut 137 ἐπὶ μὲν γὰρ τοῦ βοὸς σφάξειεν, ἐπὶ δὲ τοῦ ψαιστοῦ θύσειεν. ψαιστὸν δὲ κυρίως ἄλευρον ἐλαίῳ δεδευμένον· καταχρηστικῶς δὲ καὶ τὸ πόπανον. —Ἄλλως. εἶδος πλακοῦντος ἐξ ἀλφίτων γενομένου. V. ψαιστὸν: Ἔστιν ἄλευρον ἐλαίῳ δεδευμένον.

sch plut 138 ἔστι δὲ τὸ κοινῶς λαλάγκιον. ὅπως; οὐκ ἔσθ' ὅπως: Τὸ πρῶτον ὅπως εἰ μὲν καθ' ὑποστιγμὴν νοεῖς, ἀντὶ τοῦ πῶς νοήσεις· εἰ δὲ κατὰ ἀπόφασιν, ἀντὶ τοῦ ὅτι δήπουθεν: Ἀπό τινος πόρου.

sch plut 140 C. τἀργύριον: Ἄργυρος ἡ οὐσία τοῦ ἀργύρου.

sch plut 141 ὥσπερ καὶ χρυσὸς ἡ οὐσία τοῦ χρυσοῦ. τὸ δὲ ἀπὸ τούτου κέρμα ἀργύριον καὶ χρυσίον. P. καταλύσεις: Καταλύω τὸ ἀφανίζω, καὶ διαλύω, ὃ καὶ μεταβαίνει συντασσόμενον μετὰ αἰτιατικῆς, ὡς κἀνταῦθα.

sch plut 142 καὶ ὁ Φάλαρις [Ep. 5] «εἰ βούλεσθε τὸν πρὸς ὑμᾶς καταλῦσαι πόλεμον.» καταλύω καὶ τὸ ἀναπαύομαι ἀμεταβάτως, ἀφ' οὗ καὶ κατάλυμα, ἡ ἀνάπαυσις. Junt. τὴν δύναμιν ... καταλύσεις: Τὴν βασιλείαν ἀφανίσεις, ἣν ἐκεῖνός σε λυπῇ. P. ⟦ φήμ' ἐγὼ: Ὅτε ἀναβιβάζεται ὀξεῖα, πάλιν ὀξεῖα ὀφείλει τίθεσθαι· οὐ μὴν περισπωμένη· ἄτοπον γὰρ, ὥσπερ ἐνταῦθα τὸ φήμ' ἐγώ· καὶ τὸ χρήστ' ἔδρασε· καὶ τὸ δείν' ἄττα· καὶ τὰ τοιαῦτα.

sch plut 143 ἀλλὰ καὶ ὅτε περισπωμένη ἔν τινι λέξει κεῖται μονοσυλλάβως, εἰ μὲν πρὸ δύο συλλαβῶν ἐστι τόνος, ἐγκλινέσθω· οἷον [Ran. 525] , οὔτοι που σπουδὴν ποιεῖς, [Pl. 399] οὐκ ἔστι πω τὰ πράγματα ἐν τούτῳ· εἰ δὲ πρὸ τριῶν συλλαβῶν ἐστιν ὁ τόνος, ἄτοπον τὴν περισπωμένην ἀναβιβάζειν καὶ ὀξεῖαν ποιεῖν, ὡς ἐν τῷ 〈Pl. 177] ἕνεκα σοῦ μύθους λέγει, καὶ τοῖς τοιούτοις· χρὴ γὰρ ἀκίνητον τηρεῖν τὴν περισπωμένην, καὶ μὴ διὰ τὸν πρὸς τὴν ἀνάγνωσιν κρότον ἄτοπά τινα καὶ ἀνάρμοστα πάνυ καινοτομεῖν· ἔνθα δὲ ἀνάγκη τίς ἐστι, καὶ οὐκ ἂν ἄλλως ἔχῃ ῥηθῆναι, οὐ καινόν ἐστι καινοτομῆσαί τι· οἷον ἐπὶ τοῦ μέμνηταί μου, καὶ τῶν τοιούτων. ἄνευ δ' ἀνάγκης τοιαῦτα καινοτομεῖν, οὔ μοι δοκεῖ λόγον ἔχειν. ⟧ τὸ καλὸν ἐπὶ τοῦ ἐραστοῦ λέγεται, τὸ χάριεν ἐπὶ ἡδονῆς· τὸ δὲ λαμπρὸν ἐπὶ ὄψεως.

sch plut 144 P. χάριεν: οἱ Ἀττικοὶ πρὸ δύο ἀναπέμπουσι· τὸ δὲ πρὸ μιᾶς κοινὸν χαρίεν.

sch plut 145 R. V. ἅπαντα τοῦ πλούτου ἐστὶν ὑπήκοα καὶ ὑποτεταγμένα.

sch plut 146 Ἄλλως. οὐδὲν γὰρ ἐν ἀνθρώποις ἄνευ ἀργυρίου πράττεται. V. τῷ πλουτεῖν: Τῷ πλούτῳ. P. διὰ μικρὸν ἀργυρίδιον: Καλῶς τὸ μικρόν.

sch plut 147 οὔτε γὰρ πολυτίμητοι οὔτε ἀξιόπιστοι οἱ δοῦλοι. (ἐξηυτέλισε δὲ ἑαυτὸν πρὸς τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ.) ⟦ διαφέρει δὲ ἡ ἔγωγε τῆς ἐγώ τῷ τὴν μὲν ἔγωγε ἐπὶ ἀρχῆς μόνον τίθεσθαι, καί ἐστιν Ἀττική· τὴν δὲ ἐγώ καὶ ἐν τῇ ἀρχῇ καὶ μεταξὺ, καί ἐστι κοινή. τὸ δὲ ἴσως ἢ διστακτικὸν, ἢ ἐπίσης τοῖς ἄλλοις. —τὸ δὲ «γε τοι» ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ, ὃ καὶ κρεῖττον. εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν, ὡς ἐξετάζων εὑρήσεις. Λιβάνιος γάρ φησι [Epist. 1044] «σὺ δὲ οὕτω πικρὸς «ὥστε καιροῦ παραπεσόντος ἐτιμωρήσω. Ἰούλιός γε «τοι τῶν μὲν ἄλλων γράμματα ἐκόμισε, παρὰ σοῦ δὲ «σιγῆς αἰτίαν.» Junt. ⟧ δοῦλος γεγένημαι: πρότερον ὢν ἐλεύθερος.

sch plut 148 R. τάς γ' ἑταίρας: Δηλοῖ ὡς ἀπὸ τῆς Λαΐδος· Κορινθία γὰρ ἦν.

sch plut 149 τὰ δὲ ὀνόματα αὐτῶν Λαΐς, Κυρήνη, Λέαινα, Σινώπη, Μυρρίνη, Σκιώνη. R. τὰς πόρνας· πολλαὶ γὰρ ἐν Κορίνθῳ εἰσὶ πόρναι, Σινώπη, Λαΐς, Κυρήνη, Λέαινα. ἄλλοι δὲ λέγουσιν ἐπισήμους πόρνας ἐν Κορίνθῳ εἶναι. τὸ δὲ πειρῶν ἀντὶ τοῦ πειράζων ἐστὶ καὶ παρακαλῶν. V. πόρνας. Λαΐς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κύρκη, Λέαινα, Σινώπη, Πυρήνη, Σικιώνη. P. ἡ Λαῒς πρώτη ἑταιρὶς ἐν Κορίνθῳ. Dv. πειρῶν: Προσβάλλων ἢ συνουσιάζων.

sch plut 150 τοῦτο γὰρ δηλοῖ τὸ πειρῶν. R. δοκιμάζων, προσβάλλων. P. οὐδὲ προσέχειν τὸν νοῦν: Οὐ μόνον ὅτι οὐ θέλουσι σὺν αὐτοῖς βιῶσαι, ἀλλ' οὐδὲ προσδιαλέγονται.

sch plut 151 —προσέχειν τὸν νοῦν: Προσκολλᾶν τοῖς λεγομένοις ἐκείνῳ δηλονότι. P. τὸν πρωκτὸν: Ἤγουν εὐθὺς εἰς αὐτὸν τὸν πειρῶντα τρέχειν καὶ περιπλέκεσθαι P.

sch plut 152 τὸν πρωκτὸν αὐτὰς: Πρὸς τὸ ἐρεθίζειν αὐτούς. ἄτοπον δὲ τὴν γυναῖκα τὸ ἔμπροσθεν μόριον ἐπισείειν. σφόδρα δὲ ἄσεμνον τὸ βαδίζουσαν ἐγκρούειν τῷ πρωκτῷ. —πρωκτὸν: Κῶλος. Dv. κεκράτητο παρὰ τοῖς παλαιοῖς ἡ τιμωρία τῆς παιδικῆς φύσεως ἀσχημοσύνης.

sch plut 153 διὸ καὶ οἱ ἐρωτικῶς γεγραφότες περὶ παίδων ἔτυχον διὰ βίου. V. ἐνταῦθα διασύρει τὴν τῶν Ἀθηναίων διαγωγὴν, ὅτι ἦσαν ἀρσενοκοῖται καὶ φαῦλοι. Dv. οὐχ ὅτι ἀγαπῶσιν αὐτούς· ἄπιστοι γάρ εἰσιν.

sch plut 154 R. V. χρηστοὺς: Οὐ τοὺς σεμνοὺς καὶ ἐπιεικεῖς φασι τοῦτο ποιεῖν, ἀλλὰ τοὺς ἀσελγεῖς, τοὺς ἀναιδῶς τὸ κακὸν πράττοντας.

sch plut 155 P. ὅτι ἀρσενικῶς ὁ πόρνος καὶ θηλυκῶς· ζητείσθω δὲ εἰ καὶ οὐδετέρως. (πόρνοι λέγονται οἱ κακὰ βουλευόμενοι κατά τινων ἀνθρώπων, διὰ τὸ πονεῖν αὐτοὺς ποιεῖν οἷς κακά τινα βουλεύονται.) R. V. αἰτοῦσιν: Αἰτοῦμαι τὸ αὐτὸ, ὥσπερ ποιῶ καὶ ποιοῦμαι· πλὴν ὅτι τὸ μὲν αἰτῶ τὸ ἁπλῶς ζητῶ, τὸ δὲ αἰτοῦμαι τὸ μεθ' ἱκεσίας.

sch plut 156 Junt. τί δαί: Σύνδεσμος ἐρωτηματικός· διὰ τὴν ἔκτασιν δὲ διὰ διφθόγγου γράφεται. ἵνα ὁ μὲν ἱππικὴν, ὁ δὲ θηρευτικὴν μεταδιώκει.

sch plut 157 ἀγαθὸν δὲ ἄγαν θέοντα. V. ...... ἵππου· ὁ δὲ θηρευτικὴν ..... διώκῃ. λόγῳ ἑτέρῳ διὰ τὸ αἰτεῖν ἵππον ἢ τοιοῦτόν τι. R. ἀγαθὸν: Ἐπιτήδειον εἰς δρόμον, ἤγουν ἄγαν θέοντα, ἀρετὴ γὰρ ἵππου τοῦτο. P. αἰσχυνόμενοι: Αἰσχύνομαι ἐγὼ ἀμεταβάτως· αἰσχύνω δὲ ἕτερον.

sch plut 158 Par. ὀνόματι: Ἵππου ἢ ἄλλου τινὸς καλύπτουσι τὴν κακίαν.

sch plut 159 Dv. ὀνόματι: Τοῦ ἵππου. P. (περιπέττουσι: Διὰ τὸ τῷ προσθέτω κοσμεῖσθαι κόσμῳ. ὁ αὐτὸς Θεσμοφοριαζούσαις [fr. 310] ὅς' ἦν περίεργ' αὐταῖσι τῶν φορημάτων, ὅσαις τε περιπέττουσιν αὐτὰς προσθέτοις. μοχθηρίαν δὲ τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, ἢ τὴν τῆς αἰτήσεως τοῦ ἀργυρίου. τὸ δὲ περιπέττειν ἤτοι ἀπὸ τοῦ περιπετάσματος εἴρηται, ἢ ἀπὸ μεταφορᾶς τῶν τῇ ζύμῃ τὰ ἄλφιτα περιλαμβανόντων καὶ τούτοις περικαλυπτόντων τινά. ἐκεῖνοι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου μιγνύντες ποιοῦσιν ἄρτον. φησὶν οὖν ὅτι εἰώθασι καταχρῆσθαι τῷ ὀνόματι τοῦ ἵππου εἰς τὴν μοχθηρίαν.) —Ἄλλως. περιβάλλουσι τὴν μοχθηρίαν, ὡς τὴν φιλαργυρίαν κοσμῆσαι. περικαλύπτουσι καὶ ἀφανίζουσι καὶ διά τινος ὀνόματος περικαλύπτουσι τὴν ἀσέλγειαν. V. δι' ὀνόματος ἑτέρου περικαλύπτουσι τὴν ἐπιθυμίαν τοῦ ἀργυρίου. Br. περιπέττουσι: Σκέπουσι. P. μοχθηρίαν: Τὴν τοῦ ἀργυρίου ἐπιθυμίαν, τὴν βδελυρίαν καὶ τὴν κακίαν αὐτῶν. P. τέχναι δὲ πᾶσαι διὰ σὲ: Οἷον μηχαναὶ, πλοίων κατασκευαί.

sch plut 160 —τέχναι λέγονται τὰ τῶν ἀνθρώπων σοφίσματα, οἷον χαλκευτικὴ καὶ τεκτονικὴ, χρυσοχοϊκὴ καὶ ὅσαι ἄλλαι τοιαῦται. τέχνη λέγεται καὶ ἡ μηχανὴ, καὶ ὁ δόλος, ἀφ' ἧς καὶ τεχνάζομαι ἀντὶ τοῦ δολιεύομαι καὶ μηχανῶμαι. σοφίσματα δὲ λέγουσι. Θ. Junt. τὰ διὰ λόγων μαθήματα. —τέχναι λέγονται τὰ τῶν ἀνθρώπων ἐπιτηδεύματα, χαλκευτικὴ, χρυσοχοϊκὴ καὶ ὅσα τὰ τοιαῦτα. τέχνη λέγ. καὶ ἡ μ. κ. ὁ δ. ἀφ' ἧς τεχνάζομαι λέγεται ἀντὶ τοῦ δολιεύομαι καὶ μηχ. σοφίσματα τὰ διὰ λόγων μαθήματα. σοφίσματα ἐφευρέσεις τεχνῶν ἢ εἰδῶν μὴ προϋπαρχόντων. οὐ γὰρ πάντα ἦν εὑρημένα. P. τέχναι: Ἐπιστῆμαι. σοφίσματα: Ὑπὸ σοφίας μηχανήματα. P. ἔσθ'

εὑρημένα: Τὴν σύνταξιν πρὸς τὸ οὐδέτερον τελευταῖον ἀπέδωκε· λέγω δὴ, τὸ εὑρημένα πρὸς τὸ σοφίσματα.

sch plut 161 —εἰσὶν ἐπινενοημένα. ἕνεκα τοῦ λαβεῖν τι δηλονότι. P. σκυτοτομεῖ: Ἀντὶ τοῦ σκυτοτόμος ἐστὶ, ὁ τέμνων τὰ σκύτη.

sch plut 162 P. ὑποδήματα ῥάπτει. V. χαλκεύει: Χαλκεύς ἐστι.

sch plut 163 τεκταίνεται: Τέκτων ἐστί. P. χρυσοχοεῖ: Χρυσοχόος ἐστὶ, χρυσὸν ἀπὸ σοῦ δεξάμενος.

sch plut 164 P. τὰ ἱμάτια συλῶν· λῶπος γὰρ τὸ ἱμάτιον λέγεται.

sch plut 165 ὁ δὲ τοιχωρυχεῖ· μειδιασμοῦ ἕνεκα παραπλέκει ἅμα τὰ γελοῖα καὶ τὰ ἀστεῖα. R. λωποδυτεῖ: Κλέπτης ἐστὶ συλῶν τὰ ἱμάτια. τοιχωρυχεῖ: Τοίχους οἴκων διορύττει, τὰ ἐντὸς τούτων ὑφαιρεῖσθαι σπουδάζων. P. τρυπᾷ τοῖχον. Dv. κναφεύει: Διαφόρως μὲν διὰ τοῦ κ, διὰ τὴν ἐν τῇ κνήστι ξέσιν.

sch plut 166 γναφεύει δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν. Ἄλλως. V. Ἀττικὸν μὲν τὸ διὰ τοῦ κ, κοινὸν δὲ τὸ διὰ τοῦ γ. οἱ παλαιοὶ δὲ Ἀττικοὶ διὰ τοῦ κ παρὰ τὸ κνάφος. ἔστι δὲ ἀκανθῶδές τι, ᾧ ξύουσι τὰ ἱμάτια. οἱ δὲ νεώτεροι διὰ τοῦ γ παρὰ τὴν γνάψιν. (κναφεὺς μὲν παρὰ τὸ κνῶ, ὃ σημαίνει τὸ ξύω. Ὅμηρος [Il. Λ, 638] «ἐπὶ δ’ αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ.» γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος τὸ λαμπρόν.) —κναφεύει: Γναφεύω, τὸ τὰ δέρματα ξέω. γναφεῖον, ὁ τόπος, ὥσπερ κουρεῖον. γνάφαλλα, τὰ ἀποξέσματα. καὶ γναφεὺς, ὁ γνάφων. ἀπὸ τοῦ γνάφω, γναφεύω· ἄρδω, ἀρδεύω. πάντα οἱ Ἀττικοὶ ταῦτα διὰ τοῦ κ γράφουσι. τὸ κναφεύει Ἀττικῶς διὰ τὸ κ. κοινῶς διὰ τὸ γ. κνάφος ἐστὶν ἀκανθῶδες φυτὸν, ᾧ ξύουσι τὰ ἱμάτια. τὸ διὰ τοῦ γ, παρὰ τὴν γνάψιν· τὸ δὲ διὰ τοῦ κ, ἀπὸ τοῦ κνῶ, τὸ ξύω, γίνονται. καὶ Ὅμηρος «ἐπὶ δ’ αἴγειον κνῆ τυρόν.» γναφεὺς δὲ παρὰ τὴν τοῦ φάρους γνάψιν, ἥτις ἐστὶ παρὰ τὸ γάνος, τὸ λαμπρόν. C. Ἀττικόν ἐστι τὸ κναφεύειν, ἤγουν πλύνειν, παρὰ τὸ καινὰ φαίνειν τὰ λευκανθέντα. οἱ δὲ νεώτεροι καὶ γναφεύειν γράφουσι, παρὰ τὸ γάνος, τὸ λαμπρόν. Cant.2. 3. 4. κναφεὺς μὲν ἐπὶ ἱματίων λέγεται· γναφεὺς δὲ ἐπὶ δερμάτων. Taur. κναφεύει: Διὰ τοῦ κνάφου τὰ ἱμάτια καλλωπίζει. ἔστι δὲ κνάφος εἶδος ἀκάνθης. P. βάπτει ἢ λευκαίνει. Dv. κώδια: Δέρματα. P. ἕτερος δὲ τὰς βύρσας ἕψει.

sch plut 167 λέγονται δὲ βύρσαι τὰ δερμάτια τῶν βοῶν. P. ἁλοὺς: Κρατηθείς.

sch plut 168 P. (διὰ σέ γε, ὦ Πλοῦτε, ὁ ἁλούς γε μοιχὸς παρατίλλεται, ἵνα δοὺς χρυσὸν ἀπολυθῇ. λέγει οὖν, ὅταν ὁ μοιχὸς μὴ ἔχῃ ἀργύριον, διὰ σὲ, ὦ Πλοῦτε, παρατίλλεται. παρατίλλουσι γὰρ ἵνα λάβωσι χρυσὸν καὶ ἀπολυθῶσιν. Ἄλλως.) διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται· αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀποραφανίδωσις καὶ παρατιλμοί. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο. παρατίλλεται οὖν, φησὶ, διὰ τὸ ἀπορεῖν σοῦ καὶ μὴ δύνασθαι χρήμασι λυτροῦσθαι (τὴν φυγήν). δημοσίᾳ γὰρ ταῦτα ἔπασχον. —παρατίλλεται: Ἤγουν τὰς περὶ τὸν πρωκτὸν τρίχας ἀφαιρεῖται. ἤγουν διὰ τὸ μὴ ἔχειν ἀργύριον δοῦναι εἰς ἀπαλλαγὴν, τὰς ὑπογαστρίους παρατίλλεται τρίχας, καὶ τέφραν ζέουσαν περιπάσσεται. P. μέγας δὲ βασιλεὺς: Τὸν τῶν Περσῶν λέγει· [οὕτως γὰρ ἔλεγον] αὐτὸν διὰ τὸ πλείονι δυνάμει χρῆσθαι τῇ Περσικῇ.

sch plut 170 ⟦ κομᾷ δὲ εἶπεν, τουτέστι, σεμνύνεται τῇ περιουσίᾳ τῆς ἀρχῆς, ἀπὸ τῶν μέγα φρονούντων τῇ κόμῃ. ⟧ μέγας βασιλεὺς: Τὸν τῶν Περσῶν βασιλέα, ὡς πάσης τῆς Ἀσίας ἄρχοντα, μέγαν ἐκάλουν. P. κομᾷ: Ἐπαίρεται, θάλλει. P. κομᾷ τις ἀντὶ τοῦ κόμην ἔχει. καὶ κομᾷ τις τῷ πλούτῳ, καὶ κομᾷ τις διὰ τὸν πλοῦτον. P. ἐκκλησία δὲ: ⟦ Ἵνα πόρον εὕρῃ χρημάτων.

sch plut 171 ⟧ [ἐκκλησιάζομεν γὰρ ἢ τῶν ἰδίων τι σῶσαι βουλόμενοι, ἢ τῶν ἀλλοτρίων σφετερίσασθαι. διαβάλλει δὲ τὸ ἐπὶ φιλοδικίᾳ τῶν Ἀθηναίων τριώβολον.] —διώβολον γὰρ ἐδίδοτο εἰσιοῦσιν εἰς τὴν ἐκκλησίαν βουλεύεσθαι περὶ πόρων. διαβάλλει δὲ τὸ φιλόδικον τῶν Ἀθηναίων. V. ἐκκλησία: Ἡ συνέλευσις κριτῶν. Dv. ἐκκλησία γίγνεται: Συνάθροισις ἵσταται. P. ἐλάμβανον γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ δικάζοντες καθ’ ἑσπέραν τριώβολον. τὰς τριήρεις: Οἱ γὰρ εὔποροι τῶν τριηραρχῶν πλείονας ναύτας ἔτρεφον, καὶ διὰ τοῦτο ἐπλήρουν τὰς ναῦς, οἱ δὲ πένητες οὐδαμῶς.

sch plut 172 τριήρεις: Τὰς ναῦς τὰς ἐχούσας τρεῖς κώπας, ὅ φασι κοινῶς τριτζέριον. Θ. πληροῖς: Πεπληρωμένας ναυτῶν δεικνύεις. Ρ. ὁ γὰρ τῶν ναυτῶν μισθὸς καὶ τὰ τούτων ἐφόδια ἐκ πλούτου γίνεται. Ρ. τὸ δ’ ἐν Κορίνθῳ: (Φασὶ τοὺς Κορινθίους διὰ τὸ τῶν Ἀθηναίων ἐπικρατὲς συμμαχίᾳ κεχρῆσθαι τῇ ξενικῇ δυνάμει.

sch plut 173 ἦν δὲ καταστήσας ἐν Κορίνθῳ τοὺς ξένους Κόνων ὁ Ἀθηναίων στρατηγὸς, καθελὼν Λακεδαιμονίους, ὅπως φυλάττοι τὴν ἔφοδον αὐτῶν. Ἄλλως. ὡς τῶν Ἀθηναίων δι’ ἑαυτῶν μὴ βουλομένων πολεμεῖν πρὸς Κορινθίους διὰ τὸ κίνδυνον, μισθουμένων δὲ ξένους εἰς τὸν πόλεμον καὶ τρεφόντων αὐτούς. τοῦτο δὲ ἐν τοῖς πολλοῖς τῶν πολέμων διεπράττοντο. Ἄλλως. ὡς ἀεὶ ξενικόν τι ἐχόντων Κορινθίων, καὶ οὐχ ὡς ἔνιοι κατὰ τὸν χρόνον τοῦτον· δῆλον δὲ ἐκ τοῦ ἐν δευτέρῳ φέρεσθαι, ὃς ἔσχατος ἐδιδάχθη ὑπ’ αὐτοῦ εἰκοστῷ ἔτει ὕστερον· εἰ μὴ, ὅπερ εἰκὸς, ἐκ τοῦ δευτέρου Πλούτου τοῦτο μετενήνεκται. ἐκεῖ γὰρ ὀρθῶς ἔχει. ἤδη γὰρ ὁ Κορινθιακὸς πόλεμος συνέστη τρισὶν ἢ τέτρασιν ἔτεσι πρότερον τοῦ Ἀντιπάτρου, ἐφ’ οὗ ἐδιδάχθη, καὶ τὸ συμμαχικὸν ἐπανήθροιστο ἐν Κορίνθῳ· τὸ δὲ Λακεδαιμόνιον ἐν Σικυῶνι. Ἄλλως. μετὰ τὸν πόλεμον τὸν Πελοποννησιακὸν καὶ αὐτοὶ οἱ σύμμαχοι τῶν Λακεδαιμονίων συνεκρότησαν πόλεμον κατ’ αὐτῶν· συνέλαβον δὲ αὐτοῖς Ἀθηναῖοι, καὶ ἔσχον τὴν Κόρινθον ὁρμητήριον, εἰς ἣν ἔπεμψαν ξενικὸν στράτευμα, καὶ αὐτοὶ ἔτρεφον αὐτό, τοῦ δὲ στρατεύματος ἦρχεν Ἰφικράτης ὁ στρατηγός.) —Ἄλλως. τούτου καὶ Δημοσθένης ἐν α′ Φιλιππικῶν [p. 46, 19] μέμνηται «ὅτι καὶ πρότερόν ποτ’ «ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πο«λύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ Χαβρίας καὶ «ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι· καὶ «οἶδα ἀκούων ὅτι Λακεδαιμονίους παρατατττόμενοι μεθ’ «ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ’ αὐτῶν.» V. τινὲς δέ φασι Κορινθίοις ἀδικουμένοις ὑπὸ Λακεδαιμονίων συμμάχους πέμψαι Ἀθηναίους, οὓς ἔτρεφον Κορίνθιοι. ⟦ Ἄλλως. διπλῶς ᾄδεται ἡ ἱστορία· ἢ ὅτι Κορίνθιοι Λακεδαιμονίους ὑφορώμενοι ἐμισθοῦντό τινας τῶν Ἀθηναίων εἰς τὴν αὐτῶν φυλακήν· ἢ Ἀθηναίους ἐφοβοῦντο, ἵνα μὴ ὑπ’ αὐτῶν δουλαγωγηθεῖεν, καὶ διὰ τοῦτο ξένους τινὰς ἐν Κορίνθῳ ἔτρεφον, ἀσφαλείας ἕνεκα. ⟧ — ξενικὸν: Τὸ ἀπὸ ξένης ἐλθὸν, στράτευμα δηλονότι. Ρ. ὁ Πάμφιλος δὲ: [Ὁ Πάμφιλος οὗτος καὶ ὁ Βελονοπώλης ἀμφότεροι δανεισταὶ Ἀθήνησιν.

sch plut 174 ἀντὶ τοῦ εἰπεῖν πλουτοῦσιν εἶπεν οὐχὶ κλαύσονται;] ⟦ ὁ Πάμφιλος δὲ δημαγωγὸς ἦν καὶ ἔκλεπτε τὰ τοῦ δήμου, ὡς καὶ Πλάτων φησὶν Ἀμφιαράῳ «καὶ νὴ Δί’ εἰ Πάμφιλόν γε «φαίης κλέπτειν τὰ κοινὰ, ἅμα τε συκοφαντεῖν.» οὗτος οὖν ἁλοὺς ἐπὶ κλοπῇ τῶν δημοσίων χρημάτων, ἀθρόως ἐξέπεσε δημευθεὶς, ταύτην δίκην πεπονθώς. ⟧ τινὲς δὲ τὸν Βελονοπώλην παράσιτόν φασι τοῦ Παμφίλου· δυστυχοῦντος οὖν τοῦ Παμφίλου ἀνάγκη καὶ αὐτὸν συνδυστυχεῖν. — Πάμφιλος, ὅστις γεγένηται κλέπτης τῶν δημοσίων, οὐσίαν ἐδημεύθη. ἐκ τούτων δὲ ἐσπουδακότα πλουτεῖν κλαύσεσθαί φησιν ἁλόντα ἐπὶ κλοπῇ δημοσίων. κωμῳδεῖται δὲ καὶ ὡς δειλός. Ἄλλως. δημαγωγὸς ἦν καὶ κλέπτης τῶν τοῦ δήμου. ὁ δὲ Ἀγύρριος ἐπὶ μαλακίᾳ διαβάλλεται καὶ εἰς θρασύτητα κωμῳδεῖται. V. Πάμφιλος: Κλέπτης. κλαύσεται: Κλαύσει καὶ τιμωρηθήσεται. Ρ. ὁ Πάμφιλος δημαγωγὸς ἦν ἐν Ἀθήναις, καὶ ἐνοσφίζετό τινα τῶν δημοσίων χρημάτων. ἐπεὶ οὖν ἔμελλε φωραθήσεσθαι καὶ δώσειν δίκην ὡς κεκλοφὼς τὰ δημόσια, κωμῳδεῖ αὐτόν. εἶχε οὗτος ὁ Πάμφιλος καί τινα κόλακα παράσιτον βελονοπώλην καλούμενον, ὃς ἔμελλε παραπολαύσειν τῷ Παμφίλῳ τῶν κακῶν. Ρ. Ἀριστόξενος ἐλέγετο παράσιτος.

sch plut 175 οὗτος πρότερον βελονοπωλῶν, ὕστερον δὲ πεπλούτηκε καὶ ἀλαζονευόμενος. εὑρέθη δὲ καὶ οὗτος μετὰ τοῦ Παμφίλου κλέπτων. ὁ τὰς βελονοθήκας πωλῶν. V. παράσιτος τοῦ Παμφίλου. Ρ. Ἀγύρριος δὲ: Οὗτος πλούσιος ὢν πολλὰ πάνυ ἤσθιε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 176 παρέπεται δὲ καὶ τοῖς τρυφῶσι καὶ πολλὰ ἐσθίουσι τὸ πέρδεσθαι. ἢ ὡς εὐρύπρωκτον αὐτὸν, ἢ ὡς τοῦτο ποιοῦντα αὐτὸν ὅτε πασχητιᾷ. V. [Ἀθηναῖος οὗτος ἐπὶ μαλακίᾳ τοσοῦτον διαβάλλεται, ὡς καὶ πορδὰς ἀφιέναι. καὶ εἰς θρασύτητα δὲ τὸν Ἀγύρριον κωμῳδοῦσι. πέρδεται δὲ, στρηνιᾷ πλουτῶν, ἐπεὶ τοῖς πολυφάγοις παρέπεται τὸ πέρδεσθαι.] —Ἀγύρριος πένης ὢν καὶ μὴ ἔχων ὅθεν τὸν βίον πορίζεσθαι, ἐκορδάκιζέ τε καὶ ἔπερδε, καὶ ἕτερα αἰσχρὰ ἐποίει, ἵνα λάβοι ἀργύριον. ἢ τοῦτο λέγει, ὅτι πορνευόμενος τοῦτο ἐποίει. P. πέρδεται: Κλάνει. Dv. Φιλέψιος: Οὗτος πένης (ὢν λέγων ἱστορίας ἐτρέφετο).

sch plut 177 τερατώδης δὲ καὶ λάλος διαβάλλεται, ⟦ ὡς ὁ Πλάτων ὁ κωμικός ⟧ . —Ἄλλως. οὗτος ὡς λάλος καὶ πονηρὸς κωμῳδεῖται. λαλῶν δὲ ἱστορίας καὶ μύθους καὶ παίγνια οὕτως ἐτρέφετο. V. μύθους λέγει: Ἱστορίας πλάττει, μυθοπλαστεῖ. P. Φιλέψιος καὶ οὗτος πένης ἦν, συντιθεὶς οὖν μύθους χαρίεντας, ἔθαλε τοὺς ἀκούοντας καὶ οὕτω τὴν τροφὴν αὐτῷ ἐπορίζετο. P. ἡ ξυμμαχία: Ἐπὶ Ἀμάσιδος Αἰγυπτίων βασιλέως ἐν σιτοδείᾳ ὄντες οἱ Ἀθηναῖοι ἔπεμψαν πρὸς αὐτὸν αἰτοῦντες σῖτον· καὶ ἔπεμψεν αὐτοῖς ἱκανόν.

sch plut 178 ἐκ τούτου Ἀθηναῖοι ἔπεμψαν τοῖς Αἰγυπτίοις συμμαχίαν εἰς τὸν πρὸς Πέρσας πόλεμον, καὶ εἶχον φιλίαν καὶ συμμαχίαν πρὸς ἀλλήλους. ὕστερον μέντοι ἐλύθη, καὶ συνεμάχησαν οἱ Ἀθηναῖοι τοῖς βασιλέως στρατηγοῖς κατὰ τῶν Αἰγυπτίων Ἰφικράτους ἡγουμένου. ⟦ ἦσαν γὰρ ἄμφω αὐτοῖς φίλοι. διὸ καὶ Ψαμμίτιχος λέγεται πέμψαι πυρῶν μυριάδας τρεῖς. Ἄλλως Ψαμμίτιχος χαλεπὸς Αἰγυπτίων τύραννος καὶ σκαιότατος, Βούσιριν ὑπερηκοντικῶς, οὗ καταψηφισάμενοι οἱ ἀρχόμενοι πρεσβεύουσι πρὸς Ἀθηναίους, διὰ σίτου ἀποπομπῆς ἀμοιβαῖον αἰτοῦντες, καὶ ἀμείλικτον ἄρχοντα τοῦτον ἐκβαλόντες. Ἄλλως. ὅτε Ξέρξης ἐπ' Αἰγυπτίους ἐστρατεύετο, οἱ Ἀθηναῖοι συμμαχίαν αὐτοῖς ἀπέστειλαν. ⟧ —ὁ Ξέρξης ἐπ' Αἰγυπτίους ἐστράτευσεν, οἱ δὲ Ἀθηναῖοι συνεμάχησαν αὐτοῖς. Ἄλλως. Καμβύσης βασιλεὺς τῶν Αἰγυπτίων· τούτῳ Ψαμμίτιχος πόλεμον συνεκρότησεν, Αἰγύπτιοι δὲ ἔπεμψαν πρὸς Ἀθηναίους καὶ εἰλήφασι συμμαχίαν. σίτου δὲ ἔπεμψε τοῖς Ἀθηναίοις μυριάδας τριάκοντα. V. ⟦ Ἄλλως. Ἰνάρως ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἀπέστησε τοῦ βασιλέως Ξέρξου μοῖράν τινα τῆς Αἰγύπτου, καὶ χρήματα πέμψας (τοῖς Ἀθηναίοις ἔλαβε συμμάχους. Junt.) , οἵτινες καὶ διαπεράσαντες εἰς τὴν Αἴγυπτον, καὶ ἔν τινι τῶν τοῦ Νείλου στομάτων ἀναπλεύσαντες, προσέσχον τοῖς ἕλεσι. Μεγάβαζος δὲ ὁ τοῦ βασιλέως Περσῶν στρατηγὸς τὸν ποταμὸν διακόψας καὶ ἀλλαχόσε τρέψας εἷλεν ἐκείνους ἐπὶ ξηρᾶς καὶ ἀπέκτεινεν. ⟧ —διὰ σὲ: Ἐγένετο δηλ. Par. ἐρᾷ δὲ Λαῒς: ⟦ Ὅτι Ἀριστοφάνης οὐ λέγει σύμφωνα κατὰ τοὺς χρόνους· ληφθῆναι γάρ φασιν αὐτὴν ἐν Σικελίᾳ πολιχνίου τινὸς ἁλόντος ὑπὸ Νικίου ἑπτέτιν· ὠνηθῆναι δὲ ὑπὸ Κορινθίου τινὸς καὶ πεμφθῆναι δῶρον τῇ γυναικὶ εἰς Κόρινθον.

sch plut 179 *** ἵνα δὴ ἐπὶ Χαβρίου τὶς ταῦτα γενέσθαι δῷ, ὅτε εὖ ἔπραττον Ἀθηναῖοι ἐν Σικελίᾳ. ἔστι δὲ ἕως Διοκλέους ἔτη ιδ', ὥστε ἄλογον διὰ ὀνόματος αὐτὴν ἐπαίρειν. ἐμφαίνει δὲ καὶ Πλάτων ἐν τῷ Φάωνι ἑπτακαιδεκάτῳ ἔτει ὕστερον διδαχθέντι ἐπὶ Φιλοκλέους, ὡς μηκέτι αὐτῆς οὔσης. δύναται μέντοι καὶ αὐτῆς ζώσης λέγεσθαι. Φιλωνίδην δὲ οὐ τὸν ποιητήν φησι τὸν ἐν τοῖς Ἀριστοφανείοις ἐγγεγραμμένον δράμασιν, ὡς οἱ περὶ Καλλίστρατον ἐν τῇ ὁμωνυμίᾳ πλανηθέντες· ἀλλὰ παιδιᾶς ἕνεκεν τὸν αἴσχιστον καὶ ἀπαίδευτον. κωμῳδεῖται δὲ ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος. Νικοχάρης Γαλατείᾳ· τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου τοῦ Μελιτέως; περὶ δὲ τοῦ μεγέθους Φιλύλλιός φησιν ἥτις κάμηλος ἔτεκε τὸν Φιλωνίδην. καὶ Πλάτων δὲ Λαΐῳ φησὶν οὐχ ὁρᾷς, ὅτι Φιλωνίδην που τέτοκεν ἡ μήτηρ ὄνον τὸν Μελιτέα κοὐκ ἔπαθεν οὐδέν; καὶ Θεόπομπος Ἀφροδισίοις ὄνος μὲν ὠγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης· ὄνῳ μιγείσης μητρὸς ἔβλαστε τῇ πόλει. δόξειε δ' ἂν ἐρᾶσθαι τῆς Λαΐδος ἐκείνης ὑπαγομένης αὐτόν. οὐ γὰρ ἐκείνου ἠράσθη Λαῒς, ᾗ Διογένης ὁ φιλόσοφος ἐπιγράφει τῆς Ἑλληνικῆς ἀκρασίας τὸ τρόπαιον. ⟧ Φιλωνίδης οὗτος πλούσιος ἐν Κορίνθῳ. τούτου δὲ προσεποιεῖτο ἐρᾶν διὰ τὸν

πλοῦτον Λαΐς. αὕτη δὲ θυγάτηρ ἦν Τιμάνδρας, ἥτις ἐξ Ὑκκάρων τῆς Σικελίας ἦν. ⟦ ταύτην δὲ Φιλοξένῳ τῷ διθυραμβοποιῷ δέδωκε Διονύσιος ὁ ἐν Σικελίᾳ τύραννος. εἰς Κόρινθον οὖν ἦλθεν ἅμα Φιλοξένῳ, καὶ ἐπίσημος ἐκεῖ ἐγένετο, καὶ ἐφιλήθη ὑπὸ πάντων, καὶ περιβόητος ἦν ἑταιρίς. λέγουσι δὲ ὅτι ἅμα Ἀλεξάνδρῳ ἀπεδήμησεν εἰς Πέρσας ἐκ Κορίνθου. ἡ δὲ Λαῒς ἐπισημοτέρα γέγονε τῆς μητρὸς ἐν Κορίνθῳ. ὕστερον δὲ καὶ αὐτὴ ἀπεδήμησεν εἰς Θεσσαλίαν, ἔνθα Εὐρυλόχου τινὸς ἢ Ἀριστονίκου ἠράσθη, παρ' ᾧ καὶ ἐβίωσε τὸν λοιπὸν χρόνον. αὐτῆς δὲ πολλοὶ τῶν Θετταλῶν ἠράσθησαν, καὶ τῷ ἔρωτι τὰ πρόθυρα αὐτῆς οἴνῳ ἔρραινον. καὶ φασὶν, ὅτι ζηλοτυποῦσαι αἱ Θετταλαὶ γυναῖκες ἐφόνευσαν αὐτὴν ξυλίναις χελώναις τύπτουσαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως οὔσης, ἐν ᾗ ἄνδρες οὐ παρεγίνοντο. διὸ τούτου ἕνεκα λοιμὸς κατέλαβε τὴν Θετταλίαν, ἕως ὕστερον ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον τετολμήκασι φόνον.

sch plut 179 (50) ⟧ ἐρᾷ: Ἔρωτα ἔχει. R. Φιλωνίδου: Φιλωνίδης ἀνήρ τις ἦν πλούσιος, οὗτινος ἀμόρφου ὄντος, διὰ τὰ χρήματα ἐρᾷ Λαῒς αὐτοῦ, ἡ ἐν Κορίνθῳ ᾀδομένη πόρνη. R. ὁ Τιμοθέου δὲ πύργος: (Οὗτος εἰς τοσοῦτον ἤρθη τύχης, ὥστε καὶ ἐν ὄψει τούτῳ τὴν δαίμονα φαίνεσθαι.

sch plut 180 κατασκευάσας δὲ πύργον οὐκ ἀπὸ τύχης ἔφη κατεσκευακέναι, ἀλλ' ἀπ' ἀνδρείας. ὀργισθεῖσα δὲ ἡ τύχη πένητα αὐτὸν ἐποίησεν. οὐκ εἴασε δὲ εἰπεῖν, διὰ τὸν πλοῦτον ἐγένετο, ἀλλ' ἐπήγαγε παρ' ὑπόνοιαν ἐμπέσοι γέ σοι. Ἄλλως.) ὁ Τιμόθεος πλούσιος, ἅμα δὲ καὶ ὄλβιος ἀνὴρ, στρατηγὸς Ἀθηναίων, τεῖχος οἰκοδομήσας εἰς τοσοῦτον ἤρθη τύχης, ὡς τὴν δαίμονα φαίνεσθαι ἐν ὄψει τούτῳ. καὶ ἐν Ἀθήναις δὲ ἐν εἰκόσιν ἐποίουν αὐτὸν κοιμώμενον οἱ ζωγράφοι, καὶ τὰς τύχας φερούσας αὐτῷ (εἰς δίκτυα πόλεις καὶ πορθοῦντα αὐτὰς, αἰνιττόμενοι) τὴν εὐδαιμονίαν (αὐτοῦ. ἀλαζονευόμενος δὲ ἐπὶ τῇ εὐτυχίᾳ ὁ Τιμόθεος ἔφη μᾶλλον αὐτοῦ εἶναι ἢ τῆς τύχης τὰ πραττόμενα. διὸ καὶ ἠτύχηκεν ὕστερον, νεμεσησάσης αὐτῷ τῆς Τύχης. πολλοὶ δὲ Τιμόθεοι κωμῳδοῦνται· νῦν δὲ τοῦ στρατηγοῦ μέμνηται, ὃς ὑψηλὸν πάνυ πύργον ἐποίησεν ὡς πλούσιος.) ὁ Τιμοθέου δὲ πύργος: Οὐκ ἐγένετο διὰ σέ. Dv. R. ὁ Τιμόθεος στρατηγὸς ἦν Ἀθηναίων, ὃς εἰς τοσοῦτον ἦλθε τῆς τύχης, ὥστε οἱ ζωγράφοι, αἰνιττόμενοι αὐτοῦ τὴν εὐδαιμονίαν, ἐν δικτύῳ ἐζωγράφησαν φέρειν αὐτὸν τὰς πόλεις. ἀλαζονευσάμενος δὲ ὕστερον ἠτύχησε. ἐποίησε δὲ πύργον πολυτελέστατον ἐν Ἀθήναις. R. ἐμπέσοι γέ σοι: Παρ' ὑπόνοιαν τοῦτό φησι, δέον εἰπεῖν θαυμαστὸς καὶ μέγας. —ἐμπέσοι: Τοῦτο παρ' ὑπόνοιαν. v. ἀντὶ τοῦ· εἴθε ἐπάνω σοῦ πεσεῖται. σχῆμα παρ' ὑπόνοιαν. R. αἱ πράξεις πᾶσαι .

sch plut 181 .. ἐνεργοῦνται. R. μονώτατος γὰρ εἶ σὺ: Λυκοῦργος κατὰ Λεωκράτους [p.

sch plut 182 159, 3] «τοιγαροῦν μονώτατοι ἐπώνυμοι τῆς χώρας εἰσί.» Junt. ὡς αὐτότατος πέπαικται. R. αἴτιος: Πρόξενος, πάροχος. R. διὰ σὲ ἡ κλοπὴ καὶ τὰ λοιπά· διὰ σὲ καὶ τὰ κάλλιστα ἐν τοῖς ἀνθρώποις.

sch plut 183 Dv. καὶ τῶν καλῶν: Καλὸς ἐπὶ τῷ σώματι, ἀγαθὸς ἐπὶ ψυχῇ. Borg. κρατοῦσι γοῦν: [Χρήμασι γὰρ ἐπισπῶνται συμμάχους καὶ περιγίνονται.

sch plut 184 ]—οἱ γὰρ πλούσιοι φέροντες χρήματα καὶ παρέχοντες ἐπισπῶνται βοήθειαν καὶ νικῶσι. V. ἄρχουσι. Dv. νικῶσι. R. (τὸ ἑκάστοτε) ἀντὶ τοῦ ἀεί· οὐ γὰρ λέγεται πάντοτε. R.V. ἐπικαθέζηται: Ἀπὸ μεταφορᾶς τῶν ζυγῶν· ἐπικαθέζεσθαι γὰρ τὸ βαροῦν λέγομεν.

sch plut 185 —ἐνυπάρχει. R. τοσαῦτα: Ὅσα λέγεται.

sch plut 186 R. ναὶ μὰ Δία: Ὅτι καὶ ἐπὶ κατωμοτικοῦ τὸ μὰ Δία, ὅταν αὐτοῦ προτάσσηται τὸ ναί.

sch plut 187 ὥστ' οὐδὲ τῶν ἄλλων, φησὶ, πάντων ἡμῖν ἐστι κόρος, τοῦ πλούτου δὲ οὐδαμῶς. ἂν γάρ τις κτήσηται δέκα, θέλει ποιῆσαι δεκαπέντε. V. μεστός: Κεχορτασμένος. Dv. πεπληρωμένος. R. τῶν μὲν γὰρ ἄλλων ἐστὶ: Παρὰ τὸ Ὁμηρικὸν [Il.

sch plut 189

Eulogikon public reading copy · View original HTML at eulogikon.org

N, 636] πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος. ἄλλων: Πραγμάτων ὑπάρχει πλήρωσις, κόρος. P. πλησμονή: Χορτασία. Dv. ἔρωτος: (Ὁ δοῦλος λέγει) τὰ πρὸς τὴν γαστέρα, πρὸς τὸ θυμῆρες τῆς κωμῳδίας τοῖς ⟦ ὑπὸ τοῦ δεσπότου λεγομένοισ ⟧ σπουδαίοις ταῦτα παραπλέξας.

sch plut 190 —ὅρα πῶς ὁ δεσπότης τὰ πρέποντα αὐτῷ λέγει, ὁ δοῦλος τὰ συμφέροντα αὐτῷ. Dv. τραγημάτων: Τὰ μετὰ τὴν εὐωχίαν τῇ τραπέζῃ τιθέμενα καλοῦσι τραγήματα· ὅθεν καὶ παροιμία, ἐκ τραγημάτων τὴν εὐωχίαν· λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀπὸ τῶν ἡττόνων τὰ μείζω θαυμαζόντων. Junt. τρωγαλίων. P. πλακούντων: Χλανιδίων.

sch plut 191 Θ. P. ἀνδραγαθίας: Τροπαιουχίας. P. φιλοτιμίας: Δόξης, ἐπιδείξεως.

sch plut 192 μάζης: Ἄρτου μὴ ὄντος ἄζου. στρατηγίας: Ἡγεμονίας στρατοῦ. P. φακῆς: Φακῆ θηλυκῶς ἡ ἑψηθεῖσα, ἀρσενικῶς δὲ ὁ ἀνέψητος. ⟦ περισπᾶται δὲ, ὥσπερ συκῆ, ἀμυγδαλῆ, καὶ τὰ τοιαῦτα. Θεόκριτος [10, 54] κάλλιον, ὦ ’πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἑψεῖν. ⟧ μεστός: Πεπληρωμένος.

sch plut 193 V. τάλαντα: Ἰστέον, ὅτι ἡ δραχμὴ ἓξ ὀβολοὶ εἰσίν· ἡ δὲ μνᾶ ἑκατὸν δραχμαί· τὸ δὲ τάλαντον ὀγδοήκοντα μναῖ.

sch plut 194 καὶ ὁ στατὴρ τὶ νόμισμα. Dv. τάλαντον λέγεται τὸ ἀπὸ θεοῦ δωρηθέν τινι δῶρον, ἤγουν ἡ σοφία, ἢ πλοῦτος, ἢ ἄλλο τι τοιοῦτον. λέγεται τάλαντον καὶ τὸ νόμισμα. λέγεται τάλαντον καὶ σταθμὸς χρυσοῦ πεποσωμένος. P. ⟦ ἑκκαίδεκα: Οἱ γράφοντες ἑξκαίδεκα, καὶ φάσκοντες οὕτω κάλλιον γράφειν, ἐπεὶ οὐκ ἔστιν ἐξ πρόθεσις, ἵνα συμφώνου ἐπαγομένου ἐκ γένηται, οὐ καλῶς, οἶμαι, λέγουσι· καὶ δῆλον ἀπό τε τοῦ ἕκτου καὶ τοῦ ἐκτός, καὶ ἀπὸ τοῦ ἑκτικοῦ λεγομένου πυρετοῦ· οὐ γὰρ μόνον ἐν τῇ προθέσει τὸ ξ τρέπεται, ἀλλὰ καὶ ἐν ἑτέροις, ὡς δηλοῖ τὰ εἰρημένα· τὸ γὰρ ἑκτικὸν ἐκ τῆς ἕξεως γέγονε, καὶ τὸ ἐκτὸς ἐκ τοῦ ἔξω, καὶ τὸ ἕκτον ἀπὸ τοῦ ἕξ.

sch plut 195 ⟧ ἀνύσῃ: Ἀναπληρώσῃ.

sch plut 196 Dv. εἰς τέλος ἀγάγῃ ἢ λάβῃ. βούλεται: Λαβεῖν. P. ἤ φησιν: Εἰ μὴ λάβοι.

sch plut 197 P. βιωτὸν: Βιώσιμον τὴν ζωήν. P. οὐκ εἶναι βιώσιμον, ἄξιον ζωῆς. Dv. εἰ μὴ λάβῃ, λέγει μὴ εἶναι αὐτῷ τὸ ζῆν ἡδύ. V. ἀντὶ τοῦ δέ.

sch plut 198 R.V. φαίνεσθον: Τοῦ Χρεμύλου εἰπόντος μόνου, δυϊκῶς ὁ Πλοῦτος ἴσως εἶπεν, ὅτι Ἀττικὸν ἔθος ἐστί. Ἄλλως. ἀντὶ τῆς ἑνικῆς πτώσεως ἐπήγαγεν, ὅτι ἡ σύνταξις Ἀττική. V. φαίνεσθον: Δοκεῖτε. πάνυ: Σύναπτε τοῦτο πρὸς τὸ εὖ. P. ⟦ πλὴν ἓν μόνον δέδοικα: Τυφλὸς γὰρ ὢν οὐ δύναμαι ἐπελθεῖν, εἰ καί μοι τοσαύτη δύναμίς ἐστι.

sch plut 199 δέον οὖν ἐστιν ἀναβλέψαι με. —καὶ δέδοικα μὲν ἐγὼ ἀμεταβάτως, δεδίττω δὲ ἕτερον πρὸς αἰτιατικὴν συντασσόμενον. Junt. τοῦ πέρι: Ἀντὶ τοῦ ἕνεκεν τίνος δέδοικας; P. ⟧ ὅπως: Ἀντὶ τοῦ πῶς.

sch plut 200 δύναμιν: Ἰσχύν. P. δέδοικα ἔχων δὴ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ ἔχειν με, πῶς γενήσομαι ταύτης κύριος. μεγάλη γάρ τίς ἐστι καὶ δυσκόλως ἄν τις κτήσαιτο ταύτην ἐξουσιαστικῶς. τοῦτο δέδοικα, ὅπως, ἤγουν πῶς, γενήσομαι δεσπότης τῆς δυνάμεως ταύτης ἣν ὑμεῖς φατέ. Br. δεσπότης: Ἐγκρατής.

sch plut 201 V. κύριος. P. νὴ τὸν Δί’, ἀλλὰ καὶ λέγουσιν: Οὐ σὺ μόνος λέγεις σαυτὸν δειλὸν, ἀλλὰ καὶ πάντες.

sch plut 202 τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Πλοῦτος εἶπεν, πλὴν ἓν μόνον δέδοικα. [τὸ δὲ νὴ τὸν Δία κατωμοτικῶς] ἀντὶ τοῦ ἔσῃ κύριος τῆς δυνάμεως. —οὐ μόνον σὺ λέγεις δῆλον, ὅτι δειλὸς εἶ, ἀλλὰ πάντες. P. (δειλότατον ἔσθ’ ὁ πλοῦτος: Ἐπεὶ ἀγωνιᾶν αὐτοῖς ἔδοξεν εἰ δύναται τὴν δύναμιν ἥν φασιν αὐτὸν ἔχειν.

sch plut 203

λέγεται δὲ περὶ τῶν πλουσίων ὅτι δειλοὶ διὰ τὸ ἀγωνιᾶν περὶ τῶν χρημάτων. αἰνίττεται δὲ εἰς Εὐριπίδην· ἐκεῖνος γάρ φησιν [Phoen. 600] δειλὸν δ’ ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. ) ⟦ ἀναφέρεται δὲ ἐπὶ θεὸν ἡ τῶν χρωμένων κατηγορία. ⟧ οὕτως οἱ Ἀττικοὶ διπλασιάζουσιν.

sch plut 204 ἀσφαλίζονται δὲ οἱ πλούσιοι τὰς οἰκίας αὐτῶν. καὶ ὅτι οἱ πλούσιοι δειλοί, μή πως ἀπολέσωσι τὸν πλοῦτον. Ἄλλως. V. περὶ πολλοῦ γὰρ ποιοῦνται τῶν οἰκιῶν τὴν ἀσφάλειαν οἱ πλούσιοι· καί τις τῶν κωμικῶν φησι τί ποτ’ ἐστὶ χλωρὸν, ἀντιβολῶ, τὸ χρυσίον; δέδοικ’ ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί. πρόχλωρον γὰρ δοκεῖ εἶναι. Ἄλλως. οἱ γὰρ εὔποροι τῷ φόβῳ τοῦ μὴ ληφθῆναι τὰ χρήματα δειλότεροι γίνονται. τὸ ἐπ’ ἐκείνων οὖν μετήνεγκεν ἐπὶ τὸν Πλοῦτον. διέβαλ’: Ἐσυκοφάντησεν. Dv. διέστρεψεν, διέσυρεν. P. εἰσδὺς: Λάθρα ὑπεισελθών· τοῦτο γὰρ τὸ εἰσδὺς σημαίνει. R.V. εἰσελθών. P. ⟦ ἁπαξάπαντα: Ἀντὶ τοῦ τέλεον.

sch plut 206 τὸ δὲ ἑξῆς, εἶτα εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα. ⟧ ἐὰν λάβῃ.

sch plut 207 διότι ἐπρονοησάμην, ἐκάλεσέ με δειλόν. V. πρόνοιαν: Τὴν πρόγνωσιν, τὴν περὶ ἐμῶν προμήθειαν. P. τύχη λέγεται ἐπὶ τῶν συμβαινόντων καλῶν ἢ κακῶν, μηδενὸς βουλευομένου περὶ αὐτῶν: πρόνοια δὲ ἐπὶ θεοῦ, ἀπὸ τοῦ προνοεῖσθαι. P. μελέτω: Φροντὶς ἔστω σοι.

sch plut 208 ὡς: Ὅτι. P. ἀνὴρ πρόθυμος: Ἐὰν προθυμηθῇς καλῶς μετελθεῖν ταῦτα τὰ πράγματα, ὥστε τοῖς μὲν δικαίοις συνεῖναι, τοῖς δὲ πονηροῖς μηδαμῶς.

sch plut 209 —πρόθυμος: Σπουδαῖος. πράγματα: Ἃ ἡμεῖς βουλόμεθα ποιῆσαι. Par. ἀποδείξω: Ἀποφανῶ.

sch plut 210 ὀξύτερον τοῦ Λυγκέως: (Τοῦ ἀδελφοῦ Ἴδα, ὡς δ’ αὐτὸς ἐν Δαναΐσι φησὶν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ’ ἐκεῖ τὰ περὶ αὐτοῦ· ἐπεὶ δοκεῖ παρ’ ἱστορίαν λέγειν.) τοσοῦτον δὲ ὀξυωπέστατος ἦν, ὡς καὶ δι’ ἐλάτης ἰδεῖν Κάστορα δολοφονήσαντα τὸν ἀδελφὸν, ὥς φησι Πίνδαρος [Nem. 1, 115]. ⟦ καὶ Ἀπολλώνιος δέ φησι περὶ αὐτοῦ ἐν τοῖς Ἀργοναυτικοῖς [1, 154] εἰ ἐτεόν γε πέλει, κλέος, ἀνέρα κεῖνον ῥηϊδίως καὶ νέρθεν ὑπὸ χθονὸς αὐγάζεσθαι. ⟧ (γεγόνασι δὲ Λυγκεῖς διάφοροι· εἷς παῖς Αἰγύπτου· καὶ ἄλλος Ἀφαρέως παῖς, ὁ Λάκων, λέγεται Λυγκεὺς, οὗ μέμνηται καὶ Θεόκριτος ἐν τῷ εἰς Διοσκούρους ὕμνῳ [22, 137], [ τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ’ ἄρα τώγε ἐσσυμένως ἐδίωκον ἀδελφεὼ υἷ’ Ἀφαρῆος γαμβρὼ μελλογάμω Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας. ] ὃς ἐλέγετο εἶναι πάνυ ὀξυδερκέστατος, ὥστε καὶ τὰ ὑπὸ γῆν ὁρᾶν. οὕτω μὲν μυθολογοῦσι· πρὸς δὲ τὸ πιθανὸν τοῦ λόγου ἐπινενόηται, ὅτι πρῶτος οὗτος εὗρε μέταλλα χρυσοῦ καὶ σιδήρου καὶ τῶν ἄλλων· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν καὶ τὸν σίδηρον, καὶ τὰ λοιπά· ἔλεγον οὖν οἱ ἄνθρωποι ὅτι Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ καὶ καταδύνων ἀργύριον ἀναφέρει.) τὸ ποιῆσαί με βλέψαι· θεοῦ γὰρ δεῖται τὸ τοιοῦτον ἔργον.

sch plut 211 P. Θ. καλῶς ἐλπίζω.

sch plut 212 P. Πυθικὴν σείσας δάφνην: Φασὶν ὡς πλησίον τοῦ τρίποδος δάφνη ἵστατο, ἣν ἡ Πυθία, ἡνίκα ἐχρησμῴδει, ἔσειεν.

sch plut 213 Junt. μαντικήν. V. οὕτω γὰρ μαντεύεται. R. V. κἀκεῖνος: Ὁ Ἀπόλλων.

sch plut 214 R. V. Θ. ξύνοιδε: Συγγινώσκει. φήμ’ ἐγώ: Ναί. P. ὁρᾶτε: Σκέψασθε.

sch plut 215 V. μήπως ὁ Ζεὺς ἀκούσας χαλεπήνῃ. μὴ φροντίζετε μηδέν: Μηδενὸς ἔχετε φροντίδα. P. χἄτεροι: Καὶ ἕτεροι ἡμῖν.

sch plut 218 συνίζησις. Θ. οὐκ ἦν ἄλφιτα: Ἀντὶ τοῦ (οὐκ ἦν) χρήματα, ἀπὸ μέρους τὸ πᾶν· ἀπὸ γὰρ τῶν ἀλφίτων τὴν περιουσίαν δηλοῖ.

sch plut 219 R. Junt. ἢ ἀπὸ τοῦ προηγουμένου τὸ ἑπόμενον. Junt. παπαὶ, πονήρους εἶπας: Τὸ παπαί σχετλιαστικὸν ἐνταῦθα.

sch plut 220

πονήρους δὲ, ἐπιπόνους, ἀτυχεῖς, ἀθλίους· ἢ τοῦ πόνου φροντίζοντας. ἴσον τῷ ἀσθενεῖς, ἀπράκτους. ὡς φαμὲν, πονήρως ἔχει τὰ πράγματα ἡμῖν. ⟦ στικτέον δὲ εἰς τὸ πονήρους· σημαίνει γὰρ νῦν τὸ ἐπιπόνους. ⟧ —πονήρους: Γεωργοὺς ἀσθενεῖς. πόνηρον: Γεωργόν. Dv. ξυμμάχους: Βοηθούς. P. οὔκ, ἥν γε πλουτήσωσιν: Οὐκ ἔσονται, φησὶ, μοχθηροὶ καὶ ἐπίπονοι ἅπαξ πλουτήσαντες.

sch plut 221 —πλουτῶ ἀμεταβάτως, ἀντὶ τοῦ πλοῦτον ἔχω· καὶ πλουτῷ μεταβατικῶς πρὸς αἰτιατικὴν, οἷον πλουτῶ ἀρετήν· καὶ πλουτῶ μεταβατικῶς πρὸς γενικὴν, ὡς παρὰ Λιβανίῳ, «πλουτῶ ῥημάτων,» ἤγουν ἕνεκα τῶν ῥημάτων. Junt. οὐκ: Οὐκ ἀσθενεῖς ἔσονται. πλουτήσωσιν: Πλοῦτον σχῶσι. P. πάλιν: Ὡς καὶ πρώην. Junt. πρὸς τὸν θεράποντά φησι τὸ ἴθι.

sch plut 222 τοῦτον δὲ ἀποστέλλει τοῦ καλέσαι τοὺς φίλους αὐτοῦ πένητας ὄντας καὶ δικαίους, ὅπως καὶ αὐτοὶ τοῦ πλούτου μεταλάβωσι καὶ μὴ κακῶς τὸν βίον διάγωσι. V. ἀλλ’ ἴθι: Τὸ ἴθι ῥῆμα μὲν ὂν μετὰ μέλλοντος μετοχικοῦ συντάσσεται, οἷον, ἴθι ποιήσων τόδε· ἐπίρρημα δὲ παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, μετὰ προστακτικοῦ, οἷον, ἴθι ποίησον τόδε. Junt. ἄπιθι πρὸς τὸν θεράποντα φησίν. P. τοὺς ξυγγεώργους: (Ξυγγέωργος) βαρυτόνως· σύνθετον γὰρ, ὡς πάγκαλος, πάνσοφος.

sch plut 223 τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. R. Junt. ταλαιπωρουμένους: (Ταλαιπώρως καὶ δυστυχῶς διακειμένους.

sch plut 224 ) τοῦτο γὰρ εἶπεν διὰ τὸ δύσεργον τῆς Ἀττικῆς· πετρώδης γάρ ἐστιν. R. V. κακοπαθοῦντας. Θ. κοπιῶντας, ταλαιπώρους. P. ὅπως: Ἵνα.

sch plut 225 ἴσον: Κατὰ, ἤγουν ἐπίσης. παρών: Παραγενόμενος. P. ἡμῖν μετάσχῃ: Ὥσπερ μεταλαμβάνω τούτου καὶ τοῦτο φαμὲν, οὕτω καὶ τὸ μετέχω διπλῶς συντάσσεται· καὶ ὅτε μέν ἐστι γενικὴ, τὸ μετά ἔχει τὴν δύναμιν· ὅτε δὲ αἰτιατικὴ, τὸ ἔχω, ἢ τὸ λαμβάνω.

sch plut 226 Junt. μετάσχῃ· Κοινωνήσῃ. P. καὶ δή: Ἤδη.

sch plut 227 P . τοῦτο τὸ κρεάδιον: Ὃ ἔρχεται ἀπὸ τῆς θυσίας ἔχων ἐκ τῶν Δελφῶν. οἱ γὰρ ἐκ θυσίας ἰόντες, ἔφερον ἐξ αὐτῆς τοῖς οἰκείοις κατὰ νόμον τινά. Ἄλλως. ὅπερ ἧκον ἄγοντες λοιπασθὲν ἀπὸ τῆς θυσίας. ἔνιοι δὲ, τὸ λεβήτιον. —κρεάδιον: Τὴν χύτραν. Θ. Dv. Br. P. κρεάδιον τὴν χύτραν λέγει, ἐν ᾗ τὰ κρέα ἕδονται καὶ κατεσθίονται, καὶ δαπανῶνται ἑψόμενα, ἣν ἐν τῇ ὁδῷ ἔφερον χρείας ἕνεκα. P. τῶν ἐξερχομένων ἀπὸ τῆς οἰκίας εἰσαγαγέτω.

sch plut 228 P. ἐμοὶ μελήσει τὸ εἰσενέγκαι, φησὶ, τὸ κρέας.

sch plut 229 τὸ δὲ ἀνύσας Ἀττικὸν ἀντὶ τοῦ ἄνυσον, σπούδασον. Ἀττικοὶ δὲ δασύνουσιν αὐτό. V. ⟦ ἐμοὶ μελήσει: Τοῦ εἰσενέγκαι, φησὶ, τὸ κρεάδιον. τὸ δὲ ἀνύσας ἀντὶ τοῦ ἄνυσον. ⟧ —μελήσει: Διὰ φροντίδος ἔσται. ἀνύσας: Σπεύσας. P. σὺ δ’, ὦ κράτιστε: Τὸ κράτιστε ἤτοι ἐγκωμιάζων φησὶν, ἢ ὅτι προεδίδαξεν, ὡς καὶ θεῶν ὁ Ζεὺς δι’ αὐτὸν βασιλεύει.

sch plut 230 R. V. Q. Junt. Ἄλλως. παρεπιγραφὴ, ὅτι εἰς τὴν οἰκίαν ἔφθασαν. τοὺς δὲ λόγους πάντας ἐκείνους ἐρχόμενοι ἐν τῇ ὁδῷ ἔλεγον. Junt. δεῖ: Ἐνδέχεται.

sch plut 232 P. καὶ δικαίως κἀδίκως: Τὸ δικαίως ἄλλως προσείρηται ἀντὶ τοῦ πάσῃ τέχνῃ καὶ μηχανῇ καὶ παντὶ τρόπῳ· τὸ δὲ ἀδίκως ἁπλῶς ἔρριπται, οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει.

sch plut 233 ἢ ὅτι γελοίου χάριν, ἢ μεταβληθεὶς τοὺς τρόπους. ἀντὶ τοῦ παντὶ τρόπῳ. οὕτως Ἀττικοί. V. [τὸ ἀδίκως ἁπλῶς ἔρριπται, οἷον πάσῃ τέχνῃ. οὐ γὰρ ὑπόκειται αὐτῷ, ἄδικος οὗτος· οὐκ ἀπειλητικῶς δὲ, ἀλλὰ μειλικτικῶς προσαγγέλλει.] (Ἄλλως.) ἀντὶ τοῦ παντὶ τρόπῳ· οὕτως Ἀττικοί. — παντὶ τρόπῳ. P. Vict. ἄχθομαι: Ἀντὶ τοῦ φορτικὸν ἡγοῦμαι.

sch plut 234

Eulogikon public reading copy · View original HTML at eulogikon.org

V. βαρύνομαι. εἰσιὼν: Εἰσελθὼν, εἰσερχόμενος. Θ. εἰσερχόμενος. P. ὡς τοῦ Πλούτου ἰδίαν διοίκησιν μὴ ἔχοντος.

sch plut 235 αὐτοῦ δὲ πώποτε ἀντὶ τοῦ αὐτόθι, τοπικὸν ἐπίρρημα. λέγει δὲ αὐτοῦ τοῦ εἰσελθεῖν. V. ἀλλοτρίαν: Ξένην. πάνυ: Τοῦτο πρὸς τὸ ἄχθομαι συναπτέον. P. Θ. αὐτοῦ: Τοῦ εἰσέρχεσθαι.

sch plut 236 Θ. Dv. εἰσελθεῖν. P. ὥσπερ κατηγορῶ σου τόδε φαμὲν, οὕτω καὶ ἀπολαύω σου τόδε. ἰστέον δὲ ὅτι τὸ πώποτε ποτὲ μὲν τὴν δύναμιν ἔχει τοῦ ποτέ, ποτὲ δὲ, τοῦ πῶς. P. φειδωλὸν: Φειδωλός ἐστιν ὁ φεύγων τὸ δοῦναι, ὁ περίψηφος.

sch plut 237 τινὲς δὲ παρὰ τὸ φείδομαι καὶ τὸ δοῦναι, (φειδωδός τις ὢν, καὶ τροπῇ τοῦ δ εἰς λ φειδωλός). —φειδωλὸν: Φειδόμενος ἔνθα οὐ δεῖ. P. εἰσελθὼν τύχω: Εἰσέλθω. Vict. κατώρυξεν: Κατορύξας ἔκρυψεν ἐμέ.

sch plut 238 P. κατέχωσε. Dv. κατορύττω τι τὸ φανερὸν κρύπτω. ἀνορύττω δὲ τὸ κρυπτόμενον εἰς φῶς ἕλκω. P. κἄν τις προσέλθῃ χρηστὸς: Ἵνα τὴν ὑπερβολὴν τῆς φιλαργυρίας σημάνῃ προκεκριμένης καὶ τῶν χρηστῶν φίλων.

sch plut 240 αἰτῶν: Ζητῶν. P. ἀργυρίδιον: Ἢ δανείου χάριν ἢ δωρεὰν ἁπλῶς. Θ. P. ἔξαρνός ἐστι: Ἀπαρνεῖται.

sch plut 241 P. ἰδεῖν: Βλέψαι. Vict. παραπλῆγα: (Ἄφρονα,) μωρὸν, (ἀπὸ τῶν κρουμάτων τῶν διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ).

sch plut 242 ἀληθῶς γὰρ ἡ ἀσωτία πεπληγμένη ἐστὶ διάνοια. —ἐν κακίᾳ μανικὸν καὶ ἀκόλαστον. Θ. μανικόν. Dv. παραπλὴξ ὁ παραπαίων ἤτοι ὁ μαινόμενος, ὁ παρακεκομμένος τὴν φρόνησιν. καταπλὴξ δὲ ψοφοδεὴς, ὁ δεδοικὼς τὰ πάντα. P. παραβεβλημένος: Ἐκδεδομένος.

sch plut 243 P. θύραζ’: Ἐκτὸς τῆς θύρας.

sch plut 244 ἐν ἀκαρεῖ: Ὀλίγῳ. Θ. P. ἐπ’ ὀλίγῳ. R. ἐν ἀκαρεῖ: Ἐν ὀλίγῳ. ἐπίρρημα τὸ ἀκαρεὶ, ἐξ οὗ παρῆκται τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. V. (πεποίηται δὲ παρὰ τὸ ἄτμητον τοῦ χρόνου, ὡς καὶ τῆς κειρομένης τριχός. ἀκαρὲς δὲ τὸ ἄτμητον Ἄλλως.) τῷ ἐλαχίστῳ, ὃ οὐχ οἷόν τε διακεῖραι καὶ διακόψαι διὰ τὸ βραχύτατον τοῦ χρόνου. πεποίηται δὲ ἀπὸ τῶν μικρῶν τριχῶν τῶν διὰ βραχύτητα μὴ δυναμένων καρῆναι. (Ἄλλως. ἐπίρρημα τὸ ἀκαρῶς, ἀφ’ οὗ τὸ ἀκαρὲς ἐπιρρηματικὸν ὄνομα. ὅπερ δὲ πάσχουσιν ἐκεῖνοι δι’ ἀσωτίαν γυμνούμενοι, τοῦτο εἰς ἑαυτὸν ἐπήγαγε.) μετρίου: Ἐλευθέρου, μέτρον καὶ τάξιν ἔχοντος ἐν τῷ βίῳ.

sch plut 245 Θ. P. (μετρίου γὰρ ἀνδρὸς: Τουτέστι, ταῦτα πάσχεις, ἐπεὶ οὐδέποτε μετρίου ἀνδρὸς ἐπέτυχες.) τούτου τοῦ τρόπου: Τῆς μετριότητος δηλονότι.

sch plut 246 πως εἴμ’ ἀεί: Εἰμὶ καταπολύ. Θ. P. πῶς εἴμ’ ἀεί: (Τὸ πῶς θαυμαστικόν ἐστι·) θαυμάζει γὰρ αὑτὸν ὡς ἀεί ποτε σύμμετρον ὄντα. (μετρίου δὲ λέγει ἀνδρὸς, τοῦ διαμετροῦντος ἑαυτὸν τῷ ζῆν.) φειδόμενος: Ἀρετῆς γάρ ἐστι τῷ δέοντι καιρῷ ἁρμοζόμενον καὶ φείδεσθαι καὶ δαπανᾶν.

sch plut 247 —φειδόμενος: Ἀκριβολογούμενος τῶν χρημάτων. ὡς οὐδεὶς ἀνήρ: Χαίρει. P. ἀναλῶν: Ἀντὶ τοῦ δαπανῶν.

sch plut 248 V. Χαίρω, ἡνίκ’ ἂν τοῦ φείδεσθαι χρεία ᾖ. P. ἡνίκ’ ἂν τούτου δέῃ: Τὸ ἡνίκ’ ἂν τούτου δέῃ κοινῶς λάμβανε, καὶ πρὸς τὸ ἀναλῶν, καὶ τὸ φειδόμενος. Junt. ὡς ἰδεῖν σε βούλομαι: (Οὐχ ἵνα ὁ Πλοῦτος ἴδῃ τὴν γυναῖκα καὶ τὸν υἱόν, τυφλὸς γὰρ ἦν, ἀλλ’) ἵνα ἐκεῖνοι τὸν Πλοῦτον ἴδωσιν· οὕτω γὰρ πρέπει.

sch plut 249 Ἀττικὸν δὲ τὸ πλεονάζειν τοῖς ἄρθροις. —δεῦρο εἰσέλθωμεν. ὡς: Ὅτι. Θ. P. μόνον: Μονογενῆ.

sch plut 250 P. ὃν ἐγὼ: Δείκνυσιν, ὡς καὶ τῶν παίδων αὐτῶν πλέον τὸν πλοῦτον φιλοῦσιν οἱ ἄνθρωποι.

sch plut 251

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P. Vict. πείθομαι: Χαριέντως τοῦτό φησιν· οἶδα γὰρ ὅτι καὶ τέκνων προτιμᾷς τὸν πλοῦτον. —ἢ ὅτι σε φιλῶ μάλιστα μετὰ τὸν υἱόν. τί γὰρ ἄν τις: Ἡ κατασκευὴ αὕτη, ἡ τί γὰρ ἄν τις, πρὸς τὸ, ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ, τὸ δὲ πείθομαι διὰ μέσου τῷ Πλούτῳ εἴρηται.

sch plut 252 Junt. τί γὰρ ἄν: Διατί. P. ⟦ ὦ πολλὰ δὴ τῷ δεσπότῃ: Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἰαμβικῶν ἐννέα πρὸς τοῖς τεσσαράκοντα, ἄχρι τοῦ, «ἐγὼ δὲ τὴν Κίρκην,» ὧν οἱ μὲν με' τετράμετροί εἰσι καταληκτικοὶ, οἱ δὲ, «βληχώμενοί τε προβατίων,» καὶ, «αἰγῶν τε κιναβρώντων μέλη,» ἔτι δὲ, «ἡγούμενον τοῖς προβατίοις,» καὶ «εἰκῆ δὲ καταδαρθέντα που,» τέσσαρες ὄντες, δίμετροί εἰσιν ἀκατάληκτοι.

sch plut 253 καὶ τὸ μὲν τετράμετρον Ἱππωνάκτειον καλεῖται, διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι. οἷόν ἐστι καὶ τὸ [Hipponactis ap. Hephaest. p. 30] «εἴ μοι γένοιτο παρθένος καλή τε καὶ τέρεινα.» τὸ δὲ δίμετρον Ἀνακρεόντειον, οἷόν ἐστι τὸ, «καὶ μαίνομαι κοὐ μαίνομαι.» ἐφ' ἑκάστῳ συστήματι παράγραφος· ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. ἰστέον ὅτι, ὅτε τίθεται ἐν τοῖς ἀμοιβαίοις τῶν ὑποκριτῶν προσώποις ἐν ἐκθέσει κῶλά τινα μετὰ τὴν περίοδον τῶν στίχων τοῦ αὐτοῦ μέτρου ὄντα, ἢ καὶ ἑτέρου (εὕρηται γὰρ καὶ οὕτως) ὁ τοιοῦτος σχηματισμὸς καλεῖται διπλῆ, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων τὸ σημεῖον ἐκτὸς τίθεσθαι τῆς διπλῆς· ὅπερ τριγώνου πλαγίου σχήματι ἔοικεν τῆς βάσεως μόνης λιπούσης· μεθ' ἣν οὐδὲ χοροῦ πάροδος ἀεὶ γίνεται, ἀλλὰ σπανίως. ὅτε δὲ οὐ τίθεται κῶλα τοιαῦτα, ἀλλ' ἐν οἷς ἤρξαντο στίχοις, ἐν τούτοις οἱ ὑποκριταὶ παύονται, τὸ τοιοῦτο καλεῖται κορωνὶς, διὰ τὸ μετὰ τὴν συμπλήρωσιν τούτων τὸ σημεῖον τῆς κορωνίδος τίθεσθαι· ὅπερ γραμμή τίς ἐστι βραχεῖα, καμπήν τινα ὑποκάτω ἔχουσα· ἧς ἑξῆς ἀεὶ τίθεται κορωνὶς ἑτέρα χοροῦ, ἐπισφραγίζουσα οἷον τὰ ῥηθέντα. ἐν δὲ ταῖς στροφαῖς καὶ ἀντιστροφαῖς καὶ τῇ μεταξὺ τούτων τῶν ὑποκριτῶν περιόδῳ παράγραφος τίθεται, ὡς Ἡφαιστίων φησὶν, ἧς τὸ σχῆμα γραμμή τίς ἐστι βραχεῖα, ὥσπερ τινὰ στιγμὴν ἐν τῷ ἄκρῳ ἔχουσα. δῆλα δέ ἐστι τὰ τοιαῦτα σχήματα καὶ ἐν τῷ βιβλίῳ κείμενα· μεθ' ὧν ἐστι καὶ ὁ ἀστερίσκος, οὗ τὸ σχῆμα ἀστέρι ἔοικεν. Ἡφαιστίων δέ φησιν [p. 133] ὅτι κατὰ τὴν Ἀριστοφάνειον ἔκδοσιν ὁ ἀστερίσκος ἐπὶ ἑτερομετρίας ἐτίθετο μόνης. χρώμεθα δὲ, φησὶ, τῇ κορωνίδι ἐν τοῖς δράμασιν κατὰ τρόπους τρεῖς· ἤτοι ὅταν, τῶν ὑποκριτῶν εἰπόντων τινὰ καὶ ἀπαλλαγέντων, καταλείπηται ὁ χορός· ἢ ἔμπαλιν· ἢ ὅταν μετάβασις ἀπὸ τόπου εἰς τόπον γίνεσθαι δοκῇ τῆς σκηνῆς· τῇ δὲ παραγράφῳ ἤτοι κατὰ πρόσωπα ἀμοιβαῖα, ἔν τε τοῖς ἰαμβικοῖς καὶ τοῖς χορικοῖς, μεταξὺ τῆς τε στροφῆς καὶ τῆς ἀντιστρόφου. ἐὰν μέντοι ἡ στροφὴ ἐξ ἀμοιβαίων τυγχάνῃ συγκειμένη, οὐκ ἐξαρκεῖ πρὸς τὸ δηλῶσαι, ὅτι πεπλήρωται ἡ στροφὴ, ἡ παράγραφος, ἐπιφερομένης ἄλλης στροφῆς, ἐπεὶ καὶ ἐφ' ἑκάστου κώλου οὐδὲν ἧττον τίθεται· ἀλλὰ κεῖται καὶ ἡ ἔσω νενευκυῖα διπλῆ· τοῦτο δὲ, ἐὰν ἀντίστροφος ἐπιφέρηται, ὡς, ἐάν γε μεταβολὴ μόνον ᾖ στροφῶν, ἡ ἔξω βλέπουσα τίθεται.

sch plut 253 (50) ⟧ πολλὰ: Πολλάκις.

sch plut 253bis ταυτὸν: Ὅμοιον. P. θύμος ἐστὶ τὸ ἀγριοκρόμυον, ᾧ δι' ἄκραν ἀπορίαν χρῶνται οἱ πένητες. ἔχει δὲ τὸ υ βραχύ. τὸ δὲ θυμὸς, ὃ δηλοῖ τὴν ψυχὴν, μακρόν. P. εἶδος βοτάνης. πρὸς τὸν χορὸν τῶν γεωργῶν. V. ταὐτὸν θύμον: Ἀντὶ τοῦ, τῆς αὐτῆς πενίας μετασχόντες· θύμος γὰρ εἶδος βοτάνης εὐτελοῦς. τινὲς δέ φασιν ὅτι παρῴδηται ἐκ τῶν Ἡσιόδου [Op. 41] οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ. ἀντὶ τοῦ, ὦ δίκαιοι, τὰ εὐτελῆ θέλοντες ἐσθίειν διὰ τὸ μὴ ἐθέλειν ἀδικεῖν· ἅμα δὲ καὶ τὸ τραχὺ (καὶ ἄκαρπον) τῆς γῆς διαβάλλει. (οὐδετέρως δὲ τὸ θύμον λέγεται καὶ βραχυπαραλήκτως καὶ βαρυτόνως· ἐκτεινόμενον γὰρ καὶ ὀξυνόμενον καὶ ἀρσενικῶς κλινόμενον δηλοῖ τὴν ψυχήν.) δημόται: Ἤτοι οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου.

sch plut 254 τοῦ πονεῖν ἐρασταὶ: Τοῦ κοπιᾶν ἐπιθυμηταί. P. ἴτ', ἐγκονεῖτε: Ἀντὶ τοῦ ἐνεργεῖτε, ταχύνατε· (ἐπεὶ οἱ τρέχοντες κόνεως πληροῦνται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 255 ἢ ἀπὸ τῶν ἀθλητῶν· ἐν κόνει γὰρ ἐκείνων τὸ ἔργον. ἢ ὅτι πρὸ τοῦ τῆς κόνεως ἅψασθαι νικῶσιν.) —πρόσιτε, κόνιν ἐγείρετε, ὅτι ὁ καιρὸς οὐχὶ βραδύνειν ἐστί. Ρ. (ὁ καιρὸς οὐχὶ μέλλειν: Οὐ τοῦ μέλλειν καὶ ἀναβάλλεσθαι καιρός ἐστιν, ἀλλὰ τοῦ σπεύδειν καὶ κόνιν πέμπειν.) ᾗ δεῖ παρόντ’: Καθ’ ἣν ἀκμεῖ δεῖ παρόντας βοηθεῖν.

sch plut 256 Ρ. οὐκοῦν: Τὸ λοιπόν.

sch plut 257 ὁρμωμένους: Κινουμένους. πάλαι: Πρὸ ὥρας. Ρ. πάλαι προθύμως: Συντόνως, δεικτικῶς. (τὸ δὲ πάλαι οὐ μόνον βραδυτῆτός ἐστιν ἐπίρρημα, ἀλλὰ καὶ ταχυτῆτος.) ὡς εἰκός ἐστιν: Ὁρμᾷν.

sch plut 258 ἀσθενεῖς: Ἀδυνάτους. ἤδη: Ἀπὸ τοῦ νῦν. Ρ. ἀξιοῖς: Ἄξιον κρίνεις.

sch plut 259 ἴσως: Ὁμοίως. Ρ. ὁμοίως σοι τρέχειν. Θ. ἴσως με θεῖν: Ἐξίσου σοι τρέχειν. τὸ δὲ λοιπὸν ἐν ὑπερβατῷ· καίτοι γε ἐξῆν εἰπεῖν, καὶ ταῦτα πρὶν φράσαι μοι. ὅτου: Οὗτινος.

sch plut 260 Ρ. οὐκοῦν πάλαι δήπου: (Σύνδεσμος ἀποδεικτικός· τοὺς γέροντας δὲ παίζει μηδὲν εἰπὼν, καὶ ὑποκρίνεται εἰρηκέναι, διὰ τὸ αὐτῶν τὰ ὦτα γήρᾳ πεπηρῶσθαι.

sch plut 261 ) ἐπεγγελᾷ οὖν τῷ ἀμυδρῷ τῶν αἰσθήσεων διὰ τὸ γῆρας. —Ἄλλως. δέον ἔλεξα εἰπεῖν πρὸς τὸ πάλαι, ὁ δὲ λέγω εἶπε δεικνὺς, ὡς οὐχ ἅπαξ, ἀλλὰ πάλαι καὶ νῦν λέγει. παίζων δὲ ὁ θεράπων τοῦτό φησιν· οὐ γὰρ προεῖπεν αὐτοῖς τίνος χάριν αὐτοὺς καλεῖ. Junt. δήπου λέγω: Θέλων ὡς κωφοὺς διαβαλεῖν φησίν. ἀκούεις: Ἐμοῦ. Ρ. φησιν: Ὑπισχνεῖται.

sch plut 262 Ρ. ψυχροῦ βίου: Ἤτοι τοῦ ταλαιπώρου.

sch plut 263 ἢ ἐπιμεμφόμενος διὰ τὸ γῆρας τοῦτό φησιν, ⟦ ἀντὶ τοῦ εὐτελοῦς· τὸ δὲ ἑξῆς, ὑμᾶς ἅπαντας ἀπαλλαγέντας ψυχροῦ καὶ δυσκόλου βίου ζήσειν. ⟧ —ψυχροῦ: Νεκροποιοῦ· τοιοῦτος γὰρ ὁ τῶν πενήτων. δυσκόλου: Δυσπορίστου. ἀπαλλαγέντας: Ἐλευθερωθέντας. Ρ. τί δέ ἐστιν .

sch plut 264 .. ὅ φησιν: Ὅπερ ὑπισχνεῖται. Ρ. φέρων ἦλθεν ἐνταῦθα.

sch plut 265 Ρ. ἀφῖκται: Παραγέγονε. Vict. πόνηροι: Γεωργοί. Dv. Ρ. ῥυπῶντα: Αὐχμοῦ μεστόν.

sch plut 266 ἔστι καὶ ῥυπόω, ῶ, καὶ ῥυπάω, ὡς ἐνταῦθα, καὶ ῥυπαίνω. Junt. ῥύπον ἔχοντα. V. κυφὸν: Κυρτόν. ἄθλιον: παρὰ τὸ ἆθλον, ἐπίπονον. R. V. ῥυσὸν δὲ, ῥυτίδας ἔχοντα. (μαδῶντα· φαλακρόν. V.) νωδὸν δὲ, ὀδόντας μὴ ἔχοντα διὰ τὸ γῆρας· οὐ γὰρ δὴ ἄφωνον· λαλεῖ γοῦν ὁ Πλοῦτος· [ψωλὸν δὲ, ἀσχήμονα κατὰ παρέκτασιν τοῦ μορίου· μαδῶντα δὲ, φαλακρὸν, καθόλου τρίχας μὴ ἔχοντα.] μυδῶντα: Γράφεται καὶ μυδῶντα καὶ μαδῶντα. καὶ μυδῶντα μὲν ἀντὶ τοῦ δυσώδη ἀποπέμποντα· μαδῶντα δὲ ἀντὶ τοῦ κόμην μὴ ἔχοντα. Junt. ῥυπούμενον, ζαρομάγουλον, κυρτὸν, ὡς κουκινὸν ἐζεματισμένον, ῥυτίδας ἔχοντα, φαλακρὸν, κυφὸν ἢ κυρτόν. Θ. ῥυπῶντα: Ῥερυπωμένον. κυφὸν: Κυρτόν. Ρ. κεκυμμένον. Vict. ἄθλιον: Δυστυχῆ. ῥυσὸν: Ῥυτίδας ἔχοντα. μαδῶντα: Φαλακρόν. νωδόν: Ἐστερημένον ὁδοῦ. Ρ. ἐστερημένον ὀδόντων. Θ. ψωλὸν: Εἰς τὸ αἰσχρὸν μεταβέβηκε.

sch plut 267 τουτέστιν ἀσχήμονα κατ’ ἐπέκτασιν τοῦ μορίου. καλῶς δὲ τὸ οἶμαι, ἐπειδὴ τὰ μὲν ἄλλα πάθη τοῦ σώματος εἰς ὄψιν ἑώρα, τοῦτο δὲ κρυφῇ ὂν καὶ μὴ ὁρῶν αὐτὸ ἀπὸ εἰκασμοῦ λέγει. V. ψωλὸν: Κηλήτην. B. Θ. Ρ. ἀσχημόνως κηλήτην. C. ἐσπασμένον. D. ὡς μετὰ τῶν ἄλλων κακῶν καὶ τὸ τῆς κήλης πάθος ἔχει τὸ γῆρας, χαυνωθέντος τῷ χρόνῳ τοῦ σώματος. —διαβάλλει ὁ ποιητὴς αὐτῶν τὴν κωφότητα· ἕτερα γὰρ εἰπόντος, ἕτερα ἀκούειν ἔδοξαν. μὴ λάβῃς δὲ ἔξωθεν τὴν διά εἰς τὸ ἐπῶν. ἀλλ’ ἔστιν ἡ γενικὴ πρὸς τὸ χρυσόν. ὡς φαμὲν σωρὸν χρημάτων. τὸν γὰρ χρυσὸν ἀγγείλας ἐπῶν, ἀντὶ τοῦ ἔπη λέξας χρυσὸν παριστῶντα. Ρ. ὦ χρυσὸν ἀγγείλας ἐπῶν: Ἀττικὴ ἡ σύνταξις· ἀντὶ τοῦ, ὦ πλοῦτον ἐκ τῶν ἐπῶν ἀγγείλας· ἢ ἀντὶ τοῦ, ὦ τιμιώτατον εἰπὼν λόγον.

sch plut 268 ἀγγείλας: Εἰπὼν, μηνύσας. ἐπῶν: Διὰ τῶν. Ρ. δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα: (Ὡς πολύπειροι συνῆκαν τὴν τοῦ Πλούτου [ἐν μύθοις οὕτως ἔχουσαν] ὑπογραφήν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 269 ) κυρίως δὲ σωρὸς τὸ ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος, παρὰ τὸ σῶ (ὅ ἐστι σώζω) συνάγω· (σορὸς δὲ θηλυκῶς ἐπὶ τοῦ τάφου καὶ διὰ τοῦ ο μικροῦ· ἐπὶ δὲ τῶν καρπῶν ἀρσενικῶς καὶ διὰ τοῦ ω μεγάλου.) καλῶς οὖν ἀπὸ τῶν καρπῶν φαίνονται εἰρηκότες· οἱ γὰρ εὐθηνοῦντες καὶ πλούσιοί εἰσιν. ἢ ὡς γεωργοὶ ταύτῃ κέχρηνται τῇ παραβολῇ. —δηλοῖς: Παριστᾷς. αὐτὸν: Τὸν σὸν δεσπότην. σωρὸν: Πλῆθος ἐλθεῖν χρημάτων φέροντα. Ρ. πρεσβυτικῶν μὲν οὖν: Διὰ τὸ τῷ γήρᾳ ἕπεσθαι ταῦτα τὰ συμπτώματα· [ἀπὸ κοινοῦ δὲ τὸ δηλῶ.

sch plut 270 ] πρεσβυτικῶν: Μᾶλλον μὲν οὖν ... Ρ. μῶν: Μὴ οὖν.

sch plut 271 V. φενακίσας: Φενάκη τὸ προκόμιον, οἷον τοῦ φαινομένου κρανίου τὸ ἄκος, καὶ σκέπη. —Ἄλλως. φενακίσας, ἀπατήσας· φενακισμὸς γὰρ ἡ ἀπάτη. V. ἄλλως δὲ κεφαλῆς τριχῶν πενομένης ἄκος. φενάκη δὲ κυρίως ἡ προσθετὴ καὶ ἐπιτηδευτὴ κόμη, ἀπὸ τῶν κατερρυηκυιῶν γυναικῶν, καὶ οὕτως ἀπατουσῶν διὰ τῆς ἐπεισάκτου κόμης. —μῶν ἀξιοῖς: Ἄρα ἄξιον κρίνεις ... φενακίσας: Ἀπατήσας. ἀπαλλαγῆναι: Ἐλευθερωθῆναι. Ρ. (ἀζήμιος: Ἀντὶ τοῦ ἀβλαβής· κυρίως δὲ ζημία ἡ τῆς ζωῆς μείωσις, ἢ τὸ ἐν τῇ ζωῇ μιαρόν.

sch plut 272 βακτηρία δὲ, ἤτοι ἡ τὴν βάσιν ποιοῦσα ἑδραίαν· ἢ βατηρία τίς οὖσα, ἡ τῆς βάσεως αἰτία, κατὰ πλεονασμὸν τοῦ κ. Ἄλλως. πάντες οἱ γέροντες ἐν ταῖς Ἀθήναις δύο βακτηρίας ἐβάσταζον. ἦν δὲ προειρηκὼς, ἀσθενεῖς γέροντας ἤδη. εἶχον δὲ ἢ διὰ τὸ ἐπερείδεσθαι αὐτῇ, ἢ διὰ τὸ ἀμύνασθαι ταύτῃ μὴ δυναμένους χερσί.) —ἀζήμιος: Ἀθῷος. ἔχοντος: Φέροντος, βαστάζοντος. Ρ. πάντως γὰρ: Ἀληθῶς γὰρ νομίζετέ με τοιοῦτον ἄνθρωπον τῇ φύσει εἰς ἅπαντα, καὶ οὐδὲν ὑγιὲς εἰπεῖν.

sch plut 273 —πάντως: Κακῶς κρίνετε. Ρ. τοιοῦτον: Ἀπατεῶνα. Dv. ὑγιὲς: Οὐδὲν (πρᾶγμα) ὑπολαμβάνετε ἀληθὲς ἐμὲ εἰπεῖν.

sch plut 274 Ρ. ὡς σεμνὸς: Κατ' εἰρωνείαν.

sch plut 275 οὑπίτριπτος: Ὁ ἄξιος ἐπιτρίψεως, τῆς ἀπωλείας. Ρ. ἐπιτριβῆναι ἄξιος. Vict. αἱ κνῆμαι: Οἱ ἄντζες. Dv. οὑπίτριπτος: Ὁ ἐπιτρίψεως καὶ βλάβης ἄξιος. ἐπιτρῖψαι γὰρ τὸ διαφθεῖραι. κυρίως δὲ χοίνικας καλοῦσι πᾶν περιφερὲς ὡς καὶ τὸ μέτρον. συμπλέκει δὲ οὐχ ὡς ἕτερον σημαῖνον, ἀλλὰ τὸ μὲν ὡς γένος, τὸ δὲ ὡς εἶδος. ὅτι τῷ εἴδει καὶ τὸ γενικόν. αἱ γὰρ χοίνικες πέδαι εἰσί τινες. πέδας δὲ τὰς ἁλύσεις, αἳ ἐξήρτηνται τούτοις καὶ ἐμποδίζουσι τὴν πορείαν. τὸ δὲ ἰοὺ ἰού ὡς τῶν πεπεδημένων οὕτω σχετλιαζόντων. V. τὰς χοίνικας καὶ τὰς πέδας: Ἐν τῷ εἰδικῷ καὶ τὸ γενικὸν ἐπήγαγεν· αἱ γὰρ χοίνικες πέδαι τινές εἰσιν· χοῖνιξ δὲ πᾶν περιφερές· διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται.

sch plut 276 —χοίνικας: Τὰ δεσμὰ, καὶ τὰς ἰδιωτικῶς λεγομένας κλάπας. ποθοῦσαι: Ὀνειδίζει αὐτὸν ὡς δοῦλον. Θ. Ρ. σορῷ: Μνήματι.

sch plut 277 V. τάφῳ. λαχὸν: Κληρωθέντος τοῦ γράμματός σου ἀττικοῦ. Θ. Ρ. λαχόντος. D. ἐν τῇ σορῷ νυνὶ λαχὸν: Δέον εἰπεῖν αὐτὸν ἐν τῷ δικαστηρίῳ σου τὸ γράμμα ἔλαχεν, εἶπεν ἐν τῇ σορῷ, ἐπεὶ γέρων. οἱ δὲ γέροντες πλησίον εἰσὶ τῆς σοροῦ. V. παρὰ τοῖς Ἀθηναίοις δέκα ἦσαν φυλαί. ἔθος οὖν ἀπὸ πασῶν τῶν φυλῶν δικαστὰς καθίζειν· εἶτα ἀπὸ μιᾶς ἑκάστης ἐλάμβανον ἄνδρας πέντε τοὺς ἐπισημοτέρους· καὶ πάλιν ἐκ τῶν πέντε ἕνα τὸν κλήρῳ λαχόντα ἐποίουν δικάζειν. ἀντὶ οὖν τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ κληρωθὲν τὸ γράμμα καὶ τὸ ψήφισμα, ὅ ἐστιν ὁ κλῆρος, δικάζειν σε καὶ δικαστὴν καθίστησιν, ὡς πρὸς γέροντα παρ' ὑπόνοιαν παίζει. Ἄλλως. ἐν ταῖς Ἀθήναις πολλὰ ἦν δικαστήρια. καὶ ἐν τισὶ μὲν ἐδίκαζον περὶ φονικῶν πραγμάτων, ἐν τισὶ δὲ περὶ δημοτικῶν· καὶ ἕκαστον δὲ τούτων εἶχεν ἕν τι τῶν στοιχείων εἰδικὸν ὄνομα. οἷον ἦν τι τῶν δικαστηρίων λεγόμενον ἄλφα, ὁμοίως ἄλλο βῆτα, ἄλλο γάμμα, καὶ ἑξῆς τὸ δ καὶ τὸ ε καὶ οὕτως ἕως τοῦ κ. δέκα γὰρ ἦν δικαστήρια τὰ πάντα ἐν Ἀθήναις, καὶ πρὸ θυρῶν δὲ ἑκάστου δικαστηρίου ἐγέγραπτο πυρρῷ βάμματι τὸ στοιχεῖον, ᾧτινι τὸ δικαστήριον ὠνομάζετο. ὅσοι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δικασταὶ ἦσαν ἐν Ἀθήναις, ἕκαστος καθ’ ἕκαστον δικαστήριον εἶχε δέλτον, (τουτέστι πινάκιον, ἐν ᾧ ἐγγεγραμμένον ἦν τὸ ὄνομα αὐτοῦ καὶ τοῦ δικαστηρίου. εἶχε δὲ καὶ ῥάβδον ἅμα τῷ πινακίῳ· καὶ ἐν αὐτῇ δὲ τῇ ῥάβδῳ ἦν τὸ ὄνομα τοῦ δικαστηρίου ἐγγεγραμμένον· ὅτε οὖν συνέβαινε καιρὸς τοῦ δικάζειν, ἤρχοντο πάντες οἱ δικασταὶ εἰς τὴν ἀγορὰν, κἀκεῖ κλήρους ἔβαλλον· καὶ ὅστις ἂν ἐκληροῦτο κλῆρον ἔχοντα τὸ α, ἀπήρχετο εἰς τὸ α δικαστήριον, ὁμοίως εἰς τὸ β καὶ τὰ ἐφεξῆς. καὶ πρῶτον μὲν ἐδείκνυε τῷ κήρυκι τοῦ δικαστηρίου τὸν κλῆρον τοῦ στοιχείου· ὁ δὲ κῆρυξ λοιπὸν ἐδίδου αὐτῷ τὸ πινάκιον αὐτοῦ καὶ τὴν ῥάβδον, εἶτα οὕτως ἐδίκαζεν. εἰ δέ τις δικαστὴς εἰσῄει μὴ κληρωθεὶς εἰς τὸ δικαστήριον, κατηγορεῖτο καὶ ἐζημιοῦτο διαφόρως.) ⟦ Ἄλλως. ἔρχεται ἕκαστος εἰς τὸ πινάκιον ἔχων ἐπιγεγραμμένον τὸ ὄνομα αὐτοῦ καὶ πατρόθεν καὶ τοῦ δήμου καὶ γράμμα ἕν τι μέχρι τοῦ κ, διὰ τὸ πάλαι δέκα φυλὰς εἶναι Ἀθήνῃσι, διῄρηντο γὰρ κατὰ φυλάς. εἶτα οἱ θεσμοθέται κατὰ φυλὴν ἕκαστος καὶ δέκατος ὁ γραμματεὺς ἐκλήρουν τὰ γράμματα μέχρι τοῦ κ. καὶ τὰ λαχόντα ἴσα τὸν ἀριθμὸν τοῖς μέλλουσι κληροῦσθαι δικαστηρίοις ὑπηρέτης φέρων ἐτίθει καθ’ ἕκαστον δικαστήριον ἕν· εἶτα πάλιν ἀπεκληροῦντο οἱ τὰ εἰληχότα γράμματα ἔχοντες τίνες δικάσουσι καὶ τίνες οὔ. τοῦτο οὖν ἐστιν, ὃ λέγει, ἀμείψας τοῦ γελοίου χάριν. ἀνθυπήλλαξε γὰρ εἰπὼν ἐν τῇ σορῷ, δέον ἐν τῇ Ἡλιαίᾳ. ἐγράφοντο δὲ, ὅτι, ἐπεὶ ἦν πέντε δικαστήρια, ἐκληροῦντο πέντε γράμματα ἀπὸ τοῦ α ἕως τοῦ ε.

sch plut 277 (50) εἶτα τὸ πρῶτον ἀνενεχθὲν ἐπὶ τοῦ α προετίθετο δικαστηρίου, ὡς ἂν ἔτυχεν, καὶ οἱ δικάζοντες ἐκληροῦντο εἰς οἶον ἕκαστος λάχῃ δικάσαι. ⟧ (τοῦτο δὲ ἐγίνετο, ἵνα μὴ διαφθείρηται τὰ δικαστήρια, ἀκρίτως ἐρχομένων τινῶν χωρὶς κλήρου εἰς τὸ δικαστήριον δικάσαι.) ⟦ τὸ δὲ, «ὁ Χάρων τὸ ξύμβολον δίδωσι,» τοιοῦτόν ἐστι. τοῖς λαχοῦσι δικάσαι εἰσελθοῦσιν ἑκάστῳ σύμβολον δίδοται δημόσιον παρὰ τῆς ἐπὶ τούτῳ εἰληχυίας ἀρχῆς, ἵν’ οἱ ἐξιόντες καὶ τοῦτο προσφέροντες λαμβάνοιεν τὸν δικαστικὸν μισθόν. εἰπὼν οὖν σορὸν, ἐπήγαγε Χάρων. δέον δὲ εἰπεῖν ὁ ἄρχων τὸ σύμβολον δίδωσιν, ὅς ἐστιν ὁ μισθὸς ὁ δικαστικὸς, εἶπεν ὁ Χάρων, ὡς γερόντων αὐτῶν καὶ μελλοθανάτων. —Ἄλλως. δέον οὕτως εἰπεῖν, ὅτι καιρὸς ἦλθεν ὑμᾶς πλουσίους γενέσθαι, ὑμεῖς δὲ μέλλετε, ὁ δὲ οὐχ οὕτως εἶπεν, ἀλλ’ ἠθέλησεν αὐτοὺς σκῶψαι ὡς γέροντας ὄντας, καὶ ἐγγὺς τοῦ θανάτου· σκώπτει δὲ οὐ καθαρῶς, ἀλλὰ διὰ τοῦ ἔθους, ὃ Ἀθηναῖοι εἶχον περὶ τὰς δίκας· ἦν δὲ τοιοῦτο. δέκα δικαστήρια ἦσαν παρ’ Ἀθηναίοις, τὸ μὲν φόνου, τὸ δὲ μοιχείας, τὸ δὲ ἑτέρου τινός. οὐσῶν δὲ καὶ ι′ φυλῶν, ἐξελέγοντο ἐξ ἑκάστης φυλῆς ἕνα ἄνδρα, καὶ ἔταττον αὐτοὺς εἰς τὰ τοιαῦτα δικαστήρια κριτὰς εἶναι· πλὴν ἔγραφον πρότερον τὰ τῶν ἀνδρῶν ὀνόματα, καὶ κλήρου γινομένου, ὁ μὲν εἰς τοῦτο, ὁ δὲ εἰς ἐκεῖνο δικάζειν ἐλάγχανεν. ἐδίδου δὲ ὁ κῆρυξ αὐτοῖς ῥάβδον, ἥτις ἦν σύμβολον τοῦ δικάζειν, ἵνα ἕκαστος καθ’ ἑσπέραν ἀποδιδοὺς τῷ πρυτάνει τὴν ῥάβδον τριώβολον λαμβάνῃ μισθὸν τῆς δικάσεως. ἀντὶ οὖν τοῦ εἰπεῖν ἐν τῷ δικαστηρίῳ τὸ γράμμα σοῦ λαχὸν δικάζειν, καὶ διὰ τοῦτο καὶ ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον, ὁ δὲ σκώπτων αὐτοὺς ὡς γέροντας καὶ ἐγγὺς θανάτου ὄντας φησὶν ἐν τῇ σορῷ καὶ ὁ Χάρων. ἔστι δὲ ἡ σύνταξις σολοικοφανής· λαχόντος γὰρ τοῦ γράμματός σου ὤφειλεν εἰπεῖν· ὁ δὲ εὐθεῖαν ἔθηκεν ἀντὶ γενικῆς, Ἀττικῷ ἔθει χρησάμενος· ἔθος γὰρ τοῖς Ἀττικοῖς οὕτω ποιεῖν, ἐπὶ μέντοι τῶν οὐδετέρων μετοχῶν. ἔστιν οὖν ἡ σύνταξις καὶ ἡ διάνοια τούτου αὕτη· λαχόντος τοῦ γράμματός σου δικάζειν σὲ ἐν τῇ σορῷ, ἤγουν ἐν τῷ δικαστηρίῳ, σὺ οὐ βαδίζεις, ὁ δὲ Χάρων, ἤγουν ὁ κῆρυξ δίδωσί σοι τὸ σύμβολον τοῦ κριτὴν εἶναι, τουτέστι τὴν ῥάβδον. πάνυ δὲ ἀστείως καὶ τὸν κήρυκα Χάροντα ὠνόμασεν· ὁ γὰρ Χάρων κατὰ ἀναγραμματισμὸν Ἄρχων λέγεται. Junt. [ὁ δὲ Χάρων τὸ ξύμβολον: Περὶ τοῦ παραδιδομένου τοῖς εἰσιοῦσιν εἰς τὸ δικαστήριον συμβόλου Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ οὕτω γράφει «τοῖς γὰρ δικαστηρίοις χρῶμα **** ἐπιγέγραπται «ἐφ’ ἑκάστῳ ἐπὶ τῷ σφηκίσκῳ τῆς εἰσόδου.

sch plut 278

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ δὲ λαβὼν «τὴν βακτηρίαν βαδίζει εἰς δικαστήριον τὸ ὁμόχρουν «μὲν τῇ βακτηρίᾳ, ἔχον δὲ τὸ αὐτὸ γράμμα, ὅπερ ἐν «τῇ βαλάνῳ. ἐπειδὰν δὲ εἰσέλθῃ, παραλαμβάνει σύμ«βολον δημοσίᾳ παρὰ τοῦ εἰληχότος ταύτην τὴν ἀρ«χήν.» ἀντὶ δὲ τοῦ εἰπεῖν ὁ κῆρυξ, ἢ ὁ δῆμος, ἀπήντησε πρὸς τὴν σορόν. ⟧ ἀντὶ τοῦ τεθνάναι μέλλεις. V. διαρραγείης: Διασχισθείης.

sch plut 279 μόθων: Λίαν αἰσχρὸς, ἀνόητος, κόβαλος: Φλύαρος. P. μόθων: Φλύαρος. κόβαλος: Ὑβριστής. Dv. μόθων: Λίαν ὑβριστής. Br. Μόθων: Φλύαρος, αἰσχρὸς, ἄτιμος, φορτικὸς, δουλοπρεπὴς, ἀπὸ Μόθωνος τινὸς αἰσχροποιοῦ. Br. μόθων: (Εἶδος αἰσχρᾶς καὶ δουλοπρεποῦς ὀρχήσεως· οἱ δὲ) Λάκωνες τοὺς παρατρεφομένους τοῖς ἐλευθέροις παῖδας μόθωνας καλοῦσιν. (Ἄλλως. μόθων, φλύαρος, φορτικὸς, ἄτιμος, αἰσχρός. λέγουσι γὰρ τοὺς Ἀθηναίους χειρωσαμένους τοὺς Μόθωνας [δουλικῇ καὶ ἀγεράστῳ] περιστῆσαι τύχῃ, ὅθεν καὶ Ἀττικοὶ μόθωνες. ἢ ἀπὸ Μόθωνός τινος αἰσχροποιοῦντος καὶ ἀεὶ ἐν τοῖς πότοις ὀρχουμένου.) ⟦ ἢ ἀντὶ τοῦ ἀνόητος. ἄλλοι δὲ λέγουσι, δουλοπρεπεῖς, σπερμολόγους. ⟧ —κόβαλος δὲ ὁ λάλος, ὁ ῥήτωρ. V. ⟦ κόβαλος: Κόβαλοι δαίμονές εἰσί τινες σκληροὶ περὶ τὸν Διόνυσον. —ἀπατεῶνες. Junt. ἀπατεών. Vict. ⟧ τέτληκας: Ὑπέμεινας.

sch plut 280 P. κέκληκε δεῦρο: Ἐκάλεσεν ἡμᾶς ἐνταῦθα.

sch plut 281 Hart. οἳ: Οἵτινες, ἡμεῖς δηλ.

sch plut 282 P. μοχθήσαντες: Κοπιάσαντες. Dv. P. σχολῆς: Ἀναπαύσεως. P. οὐκ ἄγοντες σχολὴν χάριν τῶν ἔργων. V. ἀντὶ τοῦ οὐκ ὄντος καιροῦ. R. V. πολλῶν θύμων: ⟦ Τὸ πολλῶν θύμων ῥίζας ἐκπερῶντες τοιοῦτον ἔχει τὸν νοῦν.

sch plut 283 οἱ τὴν Ἀττικὴν οἰκοῦντες πένητες, ἐπεὶ μὴ εἶχον τὰς ἐκ τῶν σπερμάτων τροφὰς (ἀνεπιτήδειος γὰρ ὁ τόπος ἦν εἰς γεωργίαν, κατάξηρος ὢν) , ἤσθιον θύμους, οὓς οἱ κοινοὶ βολβοὺς ἢ ἀγριοκρόμμυα φασίν. λέγει γοῦν ὁ χορὸς τῶν πενήτων ὅτι ἡμεῖς πολλὰ κοπιάσαντες, καὶ ταῦτα οὐκ οὔσης ἀδείας ἡμῖν, ἤλθομεν μετὰ προθυμίας ὧδε. Junt. θύμων: Ἀγριοκρόμμυον. Dv. σκυλοκρομμύων. P. ⟧ ἀντὶ τοῦ πολλοὺς ἀγρούς. θυμοφόρος γὰρ ἡ Ἀττική. R. διεκπερῶντες: Ἀντὶ τοῦ παρορῶντες καὶ παρατρέχοντες ὑπὸ τῆς ἄγαν σπουδῆς, καὶ αὐτὰς δὴ τὰς τῶν θύμων ῥίζας πολλῶν ὄντων, ἃς ἐξ ἔθους εἴχομεν συλλέγειν. Junt. ἀνασπῶντες. Dv. διασπῶντες. P. ἀλλ’ οὐκ ἔτ’: Οὐδαμῶς.

sch plut 284 Πλοῦτον: Τὸν θεόν. P. ἄγων ὁ δεσπότης: Ἄγω, τὸ φέρω, τὸ ὁδηγῶ· ἄγω, τὸ νομίζω, ἄγω τὸ τιμῶ· καὶ ἄγω τὸ συντρίβω, ἀφ’ οὗ τὸ κατέαξαν, ἀντὶ τοῦ συνέτριψαν.

sch plut 285 Junt. ποιήσει: Καταστήσει. P. ὄντως: Ἔστι πλουτῆσαι ἡμᾶς.

sch plut 286 P. ἡμὶν εἶναι: Ἐν Σοφοκλεῖ εἴρηται περὶ τοῦ ἡμὶν, ὅτι καὶ βραχύ ἐστι, διὸ καὶ ὀξύνεται. P. Μίδας μὲν οὖν: Μίδας, βασιλεὺς ὢν Φρυγίας πλουσιώτατος, ὦτα ὄνου ἔσχε.

sch plut 287 τοῦτο οὖν παροιμιωδῶς ἐλέγετο ἐπὶ τούτου, ἤτοι ὅτι πολλοὺς ὠτακουστὰς εἶχεν, ἢ ὅτι κώμην Φρυγίας κατέσχεν, ἥτις Ὦτα ὄνου ἐλέγετο. λέγεται δὲ τούτῳ τὸν Πακτωλὸν χρυσὸν ῥεῦσαι. λέγεται δὲ αὐτὸν πάλιν εὔξασθαι ὥστε πάντα γενέσθαι χρυσὸν, ὧν ἂν ἅψαιτο. ἢ ἐπεὶ ὄνος μᾶλλον ἀκούει τῶν ἄλλων ζῴων πλὴν μυός· καὶ Μίδας δὲ πολλοὺς ὠτακουστὰς εἶχεν. οἱ δέ φασιν, ὅτι ψέξας ποτὲ τὸν Διόνυσον ὁ Μίδας μετεβλήθη εἰς ὄνον. ἢ ὅτι ὄνους τοῦ Διονύσου παριόντας ἠδίκησε· διὸ ὀργισθεὶς ὁ θεὸς ὦτα ὄνου αὐτῷ περιῆψεν. οἱ δὲ, ὅτι ὦτα μεγάλα φύσει εἶχεν. ⟦ Ἄλλως. οὗτος ὁ Μίδας σφόδρα πλούσιος ἦν· ᾔτησε γὰρ, ὥς φασι, τοὺς θεοὺς, ὅ τι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γίνεσθαι· καὶ τυχὼν τῆς εὐχῆς, λιμαγχονηθεὶς ἀπέθανεν· ὅσα γὰρ ἐλάμβανεν [εἰς τροφὴν Junt.] εἰς χρυσὸν μετεβάλλετο. μυθεύονται δὲ αὐτὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷάπερ ὄνος· τὸ δ’ ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντ’ ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ’ αὐτῷ χώρᾳ λεγόμενά τε καὶ πραττόμενα. τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ μὲν οὖν, ἀντὶ τοῦ δέ. ἐμφαίνει δὲ ἐντεῦθεν, ὡς οὐχ ἁπλῶς πλουσίους ποιήσει, Μίδας δὲ οἱονεὶ ὑπερβολικῶς πλουσίους, οἷος ὁ Μίδας. ⟧ ὡς ἥδομαι: Λίαν εὐφραίνομαι.

sch plut 289 Ρ. θρεττανελὸ τὸν Κύκλωπα: ⟦ Ἡ τοῦ Κύκλωπος ἱστορία δήλη· ὅτι ποιμὴν ὢν καὶ λύραν κατέχων, ἡγεῖτο τοῖς αὐτοῦ θρέμμασι, καὶ ὅτι αὐτὸν Ὀδυσσεὺς ἐτύφλωσεν.

sch plut 290 ὥσπερ οὖν ἐκεῖνος, οὕτω καὶ οὗτος ἦν πρὸς τοὺς γέροντας, ᾄδων καὶ πορευόμενος μετ’ αὐτῶν. ἔστι δὲ τὸ θρεττανελὸ τῆς λύρας ἀπήχημα, καὶ οὐ συνάπτεται πρὸς τὴν σύνταξιν· ἀλλὰ διότι καὶ αὐτὸς ᾖδε, τούτου χάριν ἐνέθηκεν. οἱ δὲ λέγοντες τὸν θρεττανελῶ Κύκλωπα, ἤγουν τὸν ᾄδοντα τὸ θρεττανελῶ, καὶ διὰ τοῦτο καὶ τὸ λω μεγεθύνοντες, ἀμαθεῖς. τοῦτο δὲ ἐκ Κύκλωπος Φιλοξένου ἐστί· πεποίηκε γὰρ οὗτος τὸν Κύκλωπα κιθαρίζοντα. διὰ δὲ τοῦ εἰπεῖν, καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων, ἔδειξεν ὅτι πρὸς τὴν πυγὴν αὐτοὺς τῷ ποδὶ ἔτυψεν. ⟧ (τὸ δὲ ἑξῆς, καὶ μὴν ἐγὼ βουλήσομαι ὑμᾶς ἄγειν. διασύρει δὲ Φιλόξενον τὸν τραγικὸν, ὃς εἰσήγαγε κιθαρίζοντα τὸν Πολύφημον. τὸ δὲ θρεττανελὸ ποιὸν μέλος καὶ κρουμάτιόν ἐστι· τὸ δὲ, «ἀλλ’ εἶα τέκεα θαμίν’ ἐπαναβοῶντες,» ἐκ τοῦ Κύκλωπος Φιλοξένου ἐστί.) Φιλόξενον τὸν διθυραμβοποιὸν (ἢ τραγῳδοδιδάσκαλον) διασύρει, ὃς ἔγραψε τὸν ἔρωτα τοῦ Κύκλωπος τὸν ἐπὶ τῇ Γαλατείᾳ· εἶτα κιθάρας ἦχον μιμούμενος ἐν τῷ συγγράμματι, τοῦτό φησι τὸ ῥῆμα θρεττανελό. ἐκεῖ γὰρ εἰσάγει τὸν Κύκλωπα κιθαρίζοντα καὶ ἐρεθίζοντα τὴν Γαλάτειαν. ἐπεὶ οὖν ἔφη ὁ χορὸς, «ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι, «ὁ οἰκέτης φησὶ, «κἀγὼ βουλήσομαι χορεύειν.» καὶ ἅμα ἀναφωνεῖ τὸ μέλος ἐκεῖνο. ἡ γὰρ κιθάρα κρουομένη τοιοῦτον μέλος ποιεῖ, θρεττανελὸ θρεττανελό. —τινὲς ἀγροικικὴν εἶναί φασι τὴν φωνήν. V. Ἄλλως. ὁ Φιλόξενος ὁ διθυραμβοποιὸς ἐν Σικελίᾳ ἦν παρὰ Διονυσίῳ. λέγουσι δὲ ὅτι ποτὲ Γαλατείᾳ [τινὶ] παλλακίδι Διονυσίου προσέβαλε· καὶ μαθὼν Διονύσιος ἐξώρισεν αὐτὸν εἰς λατομίαν. φεύγων δὲ ἐκεῖθεν ἦλθεν εἰς τὰ ὄρη τῶν Κυθήρων, καὶ ἐκεῖ δρᾶμα τὴν Γαλάτειαν ἐποίησεν, ἐν ᾧ εἰσήνεγκε τὸν Κύκλωπα ἐρῶντα τῆς Γαλατείας· τοῦτο δὲ αἰνιττόμενος εἰς Διονύσιον· ἀπείκασε γὰρ αὐτὸν τῷ Κύκλωπι, ἐπεὶ καὶ αὐτὸς ὁ Διονύσιος οὐκ ὠξυδόρκει. ὡδὶ: Οὕτως.

sch plut 291 παρασαλεύων: Μετρίως κινῶν, ἔτυψε γὰρ αὐτοὺς πρὸς τὴν πυγήν. Ρ. παρενσαλεύων: Παρακινῶν. Vict. ἄγειν: Ὁδηγεῖν.

sch plut 292 ἀλλ’ εἶα: Ἄγε. θαμίν’: Συχνῶς, πολλάκις λέγοντες. Ρ. χλευάζει αὐτοὺς ὡς γέροντας. R. V. βληχώμενοι: (Ποιᾷ φωνῇ χρώμενοι· βληχᾶσθαι γὰρ τὸ τὰ προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ.

sch plut 293 τὸ δὲ ἑξῆς, βληχώμενοι μέλη ὡς οἱ τράγοι ἕπεσθ’ ἀπομύζοντες ἑαυτούς. κινάβρα δὲ ἡ δυσωδία τῶν μασχαλῶν, ἢ τῶν αἰγῶν· κιναβρώντων οὖν, τῶν δυσωδίαν ἐχόντων ἢ τῶν) δυσοσμίαν ποιούντων ἐκ τῶν μασχαλῶν. κυρίως δὲ ἡ τῶν κυνῶν βορὰ, κυνοβορά τις οὖσα. —βληχώμενοι: Βοῶντες, ᾄδοντες, λέγοντες. τὸ βληχᾶσθαι ἐπὶ προβάτων. συνάπτεται πρὸς τὸ προβατίων. Ρ. κιναβρώντων: Ὀσμὴν ἀποπεμπόντων.

sch plut 294 μέλη: Ἄισματα. Ρ. ἕπεσθ’: Ἀκολουθεῖτε τὰ αἰδοῖα δεικνύντες.

sch plut 295 Ρ. τράγοι δ’ ἀκρατιεῖσθε: ⟦ Τὸ ἑξῆς, τράγοι δ’ ἀπεψωλημένοι ἀκρατιεῖσθε ⟧ [λείπει] τὸ ὡς, ἀντὶ τοῦ ὡς τράγοι ἀκρατῆ πράσσετε· ἐπεὶ μετὰ τὴν συνουσίαν οἱ τράγοι λείχουσιν ἑαυτῶν τὰ αἰδοῖα ἐν τῷ ἄκρῳ μέρει. —ἀντὶ τοῦ φάγοιτε. V. ἤγουν δίκην τράγων τοὺς ὄρχεις λείχετε. Ρ. λείχετε τὰ αἰδοῖα δηλονότι. Br. θρεττανελὸ τὸν Κύκλωπα: Ὧι σαυτὸν παρείκασας.

sch plut 296 Ρ. βληχώμενοι: Ἀναβοῶντες.

sch plut 297 καταλαβόντες: Ὥσπερ ἐκεῖνον ὁ Ὀδυσσεὺς, κρατήσαντες. Ρ. πήραν ἔχοντα: Φιλοξένου ἐστὶ παρηγμένον καὶ τοῦτο τὸ ῥητόν.

sch plut 298 τοιοῦτον γὰρ τὸν Κύκλωπα εἰσάγει, πήραν ἔχοντα καὶ ἐπὶ ταύτῃ λάχανα ἄγρια. ταῦτα δέ φησι καὶ τὰ ἑξῆς, ὡς καὶ τῆς τυφλώσεως αὐτοῦ οὔσης ἐν τῷ ποιήματι. —Ἄλλως. ἐνταῦθα ὁ ποιητὴς παιγνιωδῶς ἐπιφέρει τὰ τοῦ Φιλοξένου εἰπόντος πήραν βαστάζειν τὸν Κύκλωπα, καὶ λάχανα

ἐσθίειν. οὕτω γὰρ πεποίηκε τὸν τοῦ Κύκλωπος ὑποκριτὴν εἰς τὴν σκηνὴν εἰσαγόμενον. ἐμνήσθη δὲ καὶ τῆς τυφλώσεως, ὡς οὔσης ἐν τῷ ποιήματι. ταῦτα δὲ πάντα διασύρων τὸν Φιλόξενον εἶπεν, ὡς μὴ ἀληθεύοντα. ὁ γὰρ Κύκλωψ, ὥς φησιν Ὅμηρος, κρέα ἤσθιε, καὶ οὐ λάχανα· ἃ τοίνυν ἔφησεν ἐκεῖ ὁ Φιλόξενος, ταῦτα ὁ χορὸς εἰς τὸ μέσον ἀναφέρει. Junt. πήραν: Σακούλιον, ὥσπερ ἐκεῖνος. λάχανα: Ἃ συνῆγεν ἐκεῖνος εἰς τροφήν. ἐμέθυσε γὰρ ἐκεῖνον Ὀδυσσεύς. δροσερὰ: Τρυφερά. κραιπαλῶντα: Μεθύοντα. Ρ. καὶ κραιπαλῶντα: Ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα, μεθύοντα, ἀπὸ τοῦ τῶν καιρίων σφάλλεσθαι. —κραιπάλη γὰρ ἡ χθεσινὴ μέθη καραπάλη τις οὖσα. V. ἡγούμενον: Προοδοποιοῦντα τούτοις, οἷς ἡμᾶς ἀπεικάζεις.

sch plut 299 Θ. Ρ. εἰκῆ: Μάτην, καὶ ὡς ἔτυχεν· ἢ ἀκαίρως.

sch plut 300 ὅθεν καὶ εἰκαῖος, ὁ μάταιος. Junt. (εἰκῆ δὲ καταδαρθέντα: Ὡς ἔοικε κατακοιμηθέντα που, ὡς τὸν Κύκλωπα, ὃν μιμεῖται. τοῦ δὲ οἰκέτου μνησθέντος τοῦ Κύκλωπος, οἱ γέροντες ἐπάγουσιν ἃ ἔπαθε παρὰ τοῦ Ὀδυσσέως ὁ Κύκλωψ.) —καταδαρθέντα: Καὶ ὑπνώσαντα καταπεσόντα. Ρ. ⟦ σφηκίσκον, ⟧ ξύλον ὠξυμμένον, ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν.

sch plut 301 (Ἄλλως. ἐπιτηδευτὴ ἡ λέξις παρὰ τὸν σφῆκα· τὰ γὰρ μακρὰ τῶν ξύλων καὶ εἰς ὀξὺ συνηγμένα σφηκίσκους καλοῦσιν, ἐπεὶ καὶ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνεσταλμένην ἔχουσιν, ἰσχνοὶ ὄντες ὄπισθεν. καὶ τοὺς λαγαροὺς δὲ τοῖς σώμασιν ἀνθρώπους καὶ μὴ προκοιλίους, σφηκώδεις φασίν.) —Ἄλλως. ξύλον τὸ μὲν ἄνω ἔχον παχὺ, τὸ δὲ κάτω λεπτόν. Ἄλλως. ὡς καὶ τῆς τυφλώσεως τοῦ Κύκλωπος περικειμένης ἐν τῷ ποιήματι. V. (ἐκτυφλῶσαί σέ φησιν, ὡς τὸν Κύκλωπα, ὃν μιμῇ.) —ἡμμένον: Κεκαυμένον. σφηκίσκον: Πάλον. Θ. Dv. Ρ. δαλόν. Br. ⟦ ἐγὼ δὲ τὴν Κίρκην: Ἔκθεσις τῆς διπλῆς συστηματικῶν στίχων καὶ κώλων εἴκοσι.

sch plut 302 εἰσὶ δὲ τοῦ πρώτου συστήματος στίχοι καὶ κῶλα ἑπτά. τούτων ὁ πρῶτος τετράμετρος ἀκατάληκτος, οἷον τὸ τοῦ Ἀλκαίου, δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι ὁ δεύτερος τετράμετρος καταληκτικὸς, ὡς τὰ πρὸ τούτων· ὁ δὲ τρίτος δίμετρος ἀκατάληκτος· ὁ δὲ τέταρτος τετράμετρος καταληκτικὸς ὁμοίως τῷ δευτέρῳ· ὁ δὲ πέμπτος ὁμοίως τῷ τρίτῳ· ὁ ἕκτος τρίμετρος ἀκατάληκτος· ὁ δὲ ἕβδομος δίμετρος καταληκτικός· ὡς ἐκεῖνα τοῦ Ἀνακρέοντος ὁ μὲν θέλων μάχεσθαι, πάρεστι γὰρ, μαχέσθω. ἑφθημιμερῆ δὲ τὰ τοιαῦτα καλεῖται, ὡς τρεῖς ἔχοντα πόδας καὶ συλλαβήν· ἐπὶ τῷ τέλει παράγραφος. ⟧ — τὴν Κίρκην: Τὴν Λαΐδα. Ρ. ἀνακυκῶσαν: Ταράττουσαν. Dv. ταράττουσαν, μιγνύουσαν. Θ. Ρ. ἑταίρους τοῦ Φιλωνίδου: (Δέον εἰπεῖν Ὀδυσσέως, ὁ δὲ Φιλωνίδου εἶπε.

sch plut 303 κωμῳδεῖ δὲ αὐτὸν ὡς πλούσιον καὶ παρασίτους ἔχοντα καὶ διὰ τὸν Λαΐδος ἔρωτα ἐν Κορίνθῳ διάγοντα. κωμῳδεῖται δὲ καὶ ὡς συώδης σὺν τοῖς ἑταίροις αὐτοῦ, οὓς κάπρους εἶπε. τὴν δὲ Λαΐδα Κίρκην εἶπε, ἐπεὶ τοὺς ἐραστὰς ἐφαρμάκευεν. Ἄλλως. ὥσπερ καὶ Κίρκην φησὶ παίζων τὴν Λαΐδα φαρμάσσουσαν τοὺς ἐρῶντας. τροπικῶς δὲ παίζει εἰς ταύτην ἐκεῖθεν ἄγων τὴν ἱστορίαν· δῆλον δὲ ἐκ τοῦ περὶ Φιλωνίδου διειληφέναι. κάπρους δέ φησι τοὺς ἑταίρους τοῦ Φιλωνίδου τῷ ὅλῳ ἤθει,) ἢ τῷ διαβεβλημένῳ ὡς ὑώδης. καὶ ταῦτα εἰς Φιλωνίδην τὸν Μελιτέα, ὡς [οὐ μόνον μέγαν, ἀλλὰ καὶ] ἀμαθῆ καὶ ὑώδη. καὶ Νικοχάρης ἐν Γαλατείᾳ τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου τοῦ Μελιτέως; ⟦ Ἄλλως. ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων ἡ Κίρκη ἦν, πάσας γυναῖκας παρελθοῦσα μαγείαις. προσέσχεν οὖν Ὀδυσσεὺς ἐν τῇ νήσῳ μετὰ τὸ φυγεῖν τὸν Κύκλωπα, καὶ πέμψας τινὰς τῶν αὐτοῦ ἰδεῖν, τίς ἂν εἴη ἐνταῦθα, ἔρημος γὰρ ἦν ὁ χῶρος, ἐπεὶ ἀπελθόντες οὗτοι, καὶ τὴν Κίρκην εὑρόντες, χοῖροι ὑπ' αὐτῆς διά τινος πονοῦ γεγόνασιν, αὐτὸς εἰς τὴν τούτων ἀφίκετο ζήτησιν. ἐντυχὼν οὖν ἐν τῷ μέσῳ τῆς ὁδοῦ τῷ Ἑρμῇ, καὶ παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν ἑταίρων, καὶ λαβὼν παρ' αὐτοῦ τὸ μῶλυ, ἥτις ἐστὶν ἀντιφάρμακος βοτάνη, τὸν τῆς Κίρκης οἶκον κατέλαβε· ἐπιχειρησάσης οὖν καὶ αὐτὸν τὰ ὅμοια δρᾶσαι, τὸ ξίφος κατ' αὐτῆς ἀνέτεινεν. ὅθεν αὐτὴ φοβηθεῖσα τούς τε ἑταίρους αὐτοῦ πρὸς τὴν ἀρχαίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορφὴν ἀποκατέστησε, καὶ πρὸς μίξιν αὐτῷ συνελθεῖν ἐπεθύμησεν. ὁ δὲ καὶ ἐμίγη, καὶ παῖδα ἔσχεν ἐξ αὐτῆς Τηλέγονον, ὑφ’ οὗ καὶ ὕστερον κατ’ ἄγνοιαν ἀνηρέθη κέντρῳ τρυγόνος. θέλων οὖν ὁ ποιητὴς σκῶψαι τὸν Φιλωνίδην, ὅτι αὐτοῦ ἤρα Λαΐς, ἀντὶ τοῦ εἰπεῖν τοὺς ἑταίρους τοῦ Ὀδυσσέως, Φιλωνίδου εἶπεν· ἀντὶ δὲ τοῦ εἰπεῖν ἐν τῇ νήσῳ τῶν Λαιστρυγόνων, ἐν Κορίνθῳ εἴρηκεν, ὡς ἐκεῖ τῆς Λαΐδος οἰκούσης. ⟧ — ἔδει δὲ ἄρα καὶ τὸν Ὀδυσσέα θανάτῳ περιπεσεῖν ... μέμνηται [τῆς] ἱστορίας καὶ ὁ Ὀππιανὸς ἐν Ἁλιευτικῶν β. Cant. i. ἢ τοὺς ἑταίρους: Τοῦ Ὀδυσσέως ὤφειλεν εἰπεῖν. σκώπτων δὲ τὸν Φιλωνίδην, οὗ ἤρα Λαΐς τις ἐν Κορίνθῳ πόρνη, τοῦτό φησιν. P. Φιλωνίδου: Ὀδυσσέως. Dv. ἔπεισεν: Κατέπεισεν.

sch plut 304 ὄντας κάπρους: Ὑπάρχοντας καὶ ἀγριοχοίρους. P. μεμαγμένον: Μεμαλαγμένον καὶ ἐζημωμένον.

sch plut 305 P. μ. σκὼρ: Μεμαλαγμένον κόπρον. Θ. Dv. σκὼρ: Κόπρον, σκάτον τρώγειν. αὐτὴ: Ἡ Κίρκη δὲ ἐμάλαττε τοῖς ἑταίροις. P. ἔματτεν: Ἐμάλαττεν. Dv. ἐμάλαττε τοῖς ἑταίροις. Θ. πάντας τρόπους: Τῆς Κίρκης τοὺς τρόπους μιμήσομαί φησι.

sch plut 306 P. φησὶ μιμήσομαι. R. γρυλλίζοντες: Φωνὴν (μικρῶν) χοίρων ἀφιέντες· γρυλισμὸς γὰρ ἡ τῶν (μικρῶν) χοίρων φωνή.

sch plut 307 R. V. ὁμοίως χοίροις βοῶντες. Θ. Dv. χοίρων φωνὴν ἀφιέντες. P. Vict. φιλιδίας: Φιλιδονίας. Dv. φιληδίας: ὑπὸ φιληδονίας καὶ ἀνοίας. R. P. ἕπεσθε: Παροιμία ἐπὶ τῶν ἀπαιδεύτων λεγομένη.

sch plut 308 μητρὶ: Ἐμοί. P. οὐκοῦν σε τὴν Κίρκην: ⟦ Τοῦ δευτέρου συστήματος στίχοι καὶ κῶλα ἑπτά.

sch plut 309 ἔχουσι δ’ ὁμοίως τῇ προφθάσῃ περιόδῳ καθ’ ἕκαστον. ⟧ —τὸ ἑξῆς, οὐκοῦν σε λαβόντες κρεμῶμεν. V. οὐκοῦν σε λαβόντες κρεμάσομεν. R. ἀνακυκῶσαν: Μιγνύουσαν. Dv. Vict. ἀναταράττουσαν. P. μαγγανεύουσαν (μαγεύουσαν Vict.

sch plut 310 ): Γοητεύουσαν. P. μολύνουσαν: Μιαίνουσαν. P. Vict. ⟦ λαβόντες: Οὕτω κἀν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, ἵν’ ᾖ ὅμοιον τῷ ἄνω τρίτῳ κώλῳ.

sch plut 311 τὸ δὲ, ἢν λάβωμεν, οὐ πάνυ δόκιμον. ⟧ —λαβόντες: Κρατήσαντες. φιληδίας: Φιληδονίας. P. Vict. τῶν ὄρχεων κρεμῶμεν: Δέον εἰπεῖν ξίφος ἐπιφερομέν σοι, καθὰ καὶ Ὀδυσσεὺς τῇ Κίρκῃ, ὁ δὲ, ὃ συμβέβηκε τῷ Ὀδυσσεῖ κατὰ τὴν τοῦ ἐρινεοῦ ἐποχὴν ἐν τῷ στομίῳ τῆς Χαρύβδεως, ἐπὶ τὴν Κίρκην μετήγαγεν.

sch plut 312 ἢ, ὡς ἐκεῖνος Μελάνθιον ἐκρέμασεν. — Λαρτίου: Υἱὸν δηλ. τὸν Ὀδυσσέα. τῶν ὄρχεων: Ἀπὸ τῶν ὄρχεων. P. τῶν ὄρχεων κρεμῶμεν: Ὥσπερ ἐκεῖνος τὸ ξίφος κατὰ τῆς Κίρκης ἀνέτεινεν, ἢ ὡς ἐκεῖνος Μελάνθιον ἐκρέμασε. Vict. (μινθώσομεν: Μίνθον οἱ μὲν τὸν ἡδύοσμον· οἱ δὲ τὴν ἴυγγα, ὡς κεῖται ἐν τῇ κωμικῇ λέξει.

sch plut 313 οἱ δὲ εἶδος ἄνθους ἐν τῇ κόπρῳ φυομένου, ᾧ χαίρουσιν οἱ τράγοι. Ἄλλως.) μίνθος λέγεται ἡ κόπρος τῶν αἰγῶν. ἐπειδὰν δὲ οἱ τράγοι ψυγμῷ περιπέσωσιν, εἰώθασιν οἱ αἰπόλοι λαμβάνειν τὴν κόπρον αὐτῶν καὶ χρίειν αὐτῶν τοὺς μυκτῆρας, καὶ οὕτως τῇ δυσωδίᾳ πταρμὸν κινεῖν, τούτῳ δὲ τῷ τρόπῳ λύειν τὸ πάθος· ὁ γὰρ πταρμὸς θεραπεύει τὸ πάθος. ἐκ τούτου οὖν φησιν ὅτι ἀηδίσομέν σε, ἐπεὶ καὶ αἱ αἶγες ἐκ τῆς κόπρου ἀηδίζονται. (Ἄλλως. κοπρώσομεν· μίνθος γὰρ ἄνθος ἐν τῇ κόπρῳ φυόμενον, ᾧ χαίρουσιν οἱ τράγοι. οἱ δὲ μίνθον φασὶ τὴν ἀνθρωπίνην κόπρον, ᾗ χρῶνται παρατρίβοντες οἱ ποιμένες ἐν τῷ δυσενεργήτῳ τῶν τράγων πταρμῷ.) — μινθώσωμεν: Πάσωμεν. Dv. κόπρῳ χρίσωμεν. Vict. κόπρῳ πάσσομεν. ὅταν γὰρ ὑπὸ κορύζης οἱ τράγοι κατασχεθῶσιν, οὕτω πρὸς ἀπαλλαγὴν πάττονται. μίνθος γὰρ ἡ κόπρος. Θ. P. ὥσπερ τράγου: Ὅταν οἱ τράγοι ὑπὸ κορύζης κατασχεθῶσι, κόπρῳ χρίονται εἰς ἀπαλλαγὴν τοῦ πάθους. Vict. σὺ δ’ Ἀρίστυλλος: (Ὁ Ἀρίστυλλος αἰσχρός· καὶ ἐν Ἐκκλησιαζούσαις [647] μέμνηται αὐτοῦ ὡς αἰσχροποιοῦ.

sch plut 314

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λείπει δὲ τὸ ὡς, ὡς ὁ Ἀρίστυλλος αἰσχρουργίαις κεχηνώς. αἰσχρουργὸν γὰρ αὐτόν φησι ποιητὴν,) ὃς διὰ τὴν αἰσχρουργίαν αὐτοῦ ἀεὶ ἐκεχήνει. τοῦτο οὖν φησιν, ὥσπερ ὁ Ἀρίστυλλος κεχηνὼς ἐρεῖς, ἕπεσθε μητρὶ χοῖροι, ⟦ ἀντὶ τοῦ ἐμοί· τοῦτο δὲ παρομιῶδες εἶναί φασιν· οἱ γὰρ παῖδες τοῦτο εἰώθασι λέγειν, ἕπεσθε μητρὶ χοῖροι· παροιμιακὸν οὖν ἐστι, καὶ ἐπὶ τῶν ἀπαιδεύτων φασὶ λέγεσθαι. ⟧ —ῥῖνα: Τὴν μίτην. P. ὁ Ἀρίστυλλος οὗτος μαλακὸς ἦν καὶ τῷ στόματι χάσκων, ὡς τοῖς ὁρῶσι κινεῖν γέλωτα. P. Vict. ⟦ ἀλλ’ εἶα: Τῆς τρίτης περιόδου στίχοι καὶ κῶλα ἕξ, ὧν τὸ μὲν πρῶτον καὶ τελευταῖον τετράμετρα καταληκτικὰ, τὰ δὲ μεταξὺ δίμετρα ἀκατάληκτα· ἐπὶ τῷ τέλει διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν τῇ ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

sch plut 316 ⟧ —σκομάτων: Ὕβρεων. Dv. ὕβρεων ἐλευθερωθέντες. P. ἀπαλλαγέντες: Ἀποστάντες. Vict. ἐπ’ ἄλλ’ εἶδος: Εἰς ἄλλην ὁδόν τινα.

sch plut 317 P. ἄλλο τι ἐναντίον, εἰς τὸ μηκέτι σκώπτειν. R. V. ἐγὼ δ’ ἰὼν: Δείκνυσιν ἐντεῦθεν, ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν.

sch plut 318 Θ. Junt. Vict. ἰὼν: Πορευθείς· λάθρα: Κρυφίως τοῦ δεσπότου δηλ. P. τοῦ δεσπότου: Δείκνυσιν ἐνταῦθα, ὡς τοιαῦτα οἱ δοῦλοι ποιεῖν εἰώθασιν.

sch plut 319 P. τῷ κόπῳ: Τῷ ἔργῳ καὶ τῇ περὶ τὸν πλοῦτον ἐπιμελείᾳ.

sch plut 321 ἀπὸ θέματος δὲ τοῦ μασῶ δευτέρας συζυγίας τὸ μασώμενος, ὡς γελώμενος. —μασς. τὸ λοιπὸν, οὕτω: Εἰς τὸ ἑξῆς. P. κόπῳ: Τῇ ταλαιπωρίᾳ συνυπάρχειν ... τῷ ὑστέρῳ, εἰ ἄρα τούτου δεήσεται. Paris. χαίρειν μὲν ὑμᾶς: ⟦ Κορωνὶς, ὅτι εἰσίασιν οἱ ὑποκριταί.

sch plut 322 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϟγʹ, ὧν ὁ τελευταῖος· «καὶ δὴ βαδίζω. σπεῦδε νῦν· τοῦτ’ «αὐτὸ δρῶ.» ⟧ ὁ Χρεμύλος, ὡς καινεσθεὶς τῇ τύχῃ, καινοτέραν προσηγορίαν ἐπινοεῖ· τὸ γὰρ χαίρειν παλαιόν ἐστι. ἀμέλει οὖν ἐπιφέρει τὸ ἀσπάζομαι ἅτε δὴ καινότερον. (περὶ τοῦ ἐν τῇ συνηθείᾳ χαίρειν τοῦ τε ἐν ταῖς ἐπιστολαῖς, γέγραπται Διονυσίῳ μονόβιβλον περὶ αὐτοῦ· καὶ λέγει μὲν ὑπὸ Κλέωνος πρῶτον αὐτὸ τετάχθαι, γράφοντος πρὸς Ἀθηναίους ὡς ἕλοι τοὺς ἐν Σφακτηρίᾳ, Κλέων Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. λέγει δὲ αὐτὸ κεῖσθαι περιττὸν καὶ περὶ τὴν σύνταξιν ἀσύστατον. ἐκ δὲ τῆς συντάξεως τοῦ λόγου φασὶν ἀσύστατον, εἰ μή τις αὐτὸ λάβοι ἀπαρέμφατον ἀντὶ προστακτικοῦ, ὡς καὶ παρὰ τῷ ποιητῇ [Il. Δ, 71] πειρᾶν δ’, ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιούς. ) ⟦ ἐμφαίνεται ἐντεῦθεν, ὡς οἱ ἐξαίφνης καὶ παρ’ ἐλπίδα εὐτυχήσαντες ἕτεροι τοῖς τρόποις γίνονται, καὶ πρὸς ὑπεροψίαν χωροῦσι· καὶ γὰρ οὐκ ἔστι τὸ χαίρειν κακόν· ἀλλὰ διότι πένης ὢν πρώην πρὸς τοὺς συνήθεις τοῦτο ἐχρῆτο, διὰ τοῦτο ἀτιμάζει αὐτὸ, θέλων μετὰ τοῦ βίου καὶ τὰ προσρήματα μεταβαλεῖν. σύναπτε δὲ τὸ ἔστι πρὸς τὸ ἀρχαῖον. Junt. ὦ ’νδρες δημόται: Ὦ ἄνδρες οἱ ἀπὸ τοῦ αὐτοῦ δήμου. P. ⟧ (ἀρχαῖον δὲ ἀντὶ τοῦ παλαιόν.

sch plut 323 ) ἐκ παραλλήλου τὸ ἀρχαῖον καὶ σαπρόν. (διαβάλλει τὴν λέξιν ὡς παλαιάν.) R. V. ἀρχαῖον: Τὸ ἔστι λέγει ἐνταῦθα. Dv. ἐνταῦθα τί ἐστι λέγε. Θ. ἐνταῦθα τὸ ἐστὶ λέγει καὶ χαιρετᾶν. P. σαπρόν: Σεσηπωμένον. P. ἐξίτηλον, ληρῶδες. V. ἀσπάζομαι: (Ἀσπάζομαί φησιν ἅτε καινότερον.

sch plut 324 παρὰ τὴν ὑπόνοιαν δέ· εἰπὼν γὰρ μὴ ἐρεῖν χαίρειν, ἀσπάζομαί φησιν.) —ἀσπάζομαι: Καταφιλῶ καὶ περιπλέκομαι. Θ. Dv. P. καὶ συντεταγμένως: (Καθωπλισμένως μετὰ τάξεως καὶ σπουδαίως καὶ) γοργῶς καὶ μετὰ συγκροτήματός τινος.

sch plut 325 κατεβλακευμένως δὲ ἀντὶ τοῦ βραδέως (καὶ τρυφερῶς)· βλὰξ γάρ ἐστιν ὁ μαλθακευόμενος ἐν ὑποκρίσει τὸ σῶμα· καὶ βλακεία ἡ μεθ’ ὑπεροψίας ὁμιλία. —συντεταγμένως: Σπουδαίως. Dv. μετὰ τάξεως. C. συντεταμένως: Μετὰ τάξεως. P. σπουδαίως, γοργῶς. Θ. σπουδαίως. D. καταβεβλακευμένως: Ῥᾳθύμως ὡς οἱ τρυφῶντες Θ. Dv. ῥᾳθύμως. D. κατεβλακευμένως:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βλακεία ἡ ἀπὸ τῆς τρυφῆς ἄνεσις, ἢ ῥᾳθύμως. P. ἀντὶ τοῦ βραδέως καὶ τρυφερῶς. C. οὐ κ.: Ἀντὶ τοῦ οὐ ῥαθύμως. V. ὅπως: Ὁρᾶτε καὶ σκοπεῖτε.

sch plut 326 συμπαραστάται: Σύμμαχοι, βοηθοί. P. διὰ τὴν τύφλωσιν.

sch plut 327 R. ἔσεσθε: Γενήσεσθε. σωτῆρες: Φύλακες. τοῦ θεοῦ: Τοῦ Πλούτου. Θ. P. τοῦ Πλούτου. παίζων δὲ λέγει· ὅταν γὰρ θέλῃ, ὀνομάζει αὐτὸν θεὸν, ὅταν πάλιν, ἄνθρωπον. V. ὄντως: Κατ᾽ ἀλήθειαν. C. δόξεις μ᾽ Ἄρη: Ὡς αὐτὸν τὸν Ἄρεα τὸν θεὸν ἕξεις με σύμμαχον.

sch plut 328 δόξεις με, φησὶ, τὸν Ἄρεα ὁρᾶν, ἀντὶ τοῦ κατορθωτικὸν καὶ πρακτικόν. (ἄκρως καὶ ἀπειλητικῶς, φησὶ, βλέψω πρὸς τοὺς βιαζομένους.) — Ἄλλως. παροιμία ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν καὶ συναίρεσθαι εἰς βοήθειαν. Junt. θάρρει: Ἔχε θάρρος. ἄντικρυς: Φανερῶς. δόξεις: Νομίσεις, ἡμᾶς τὸν χορὸν δηλ. μ᾽ Ἄρην: Πολεμικώτατον. P. ἀνδρεῖον ἤδη καὶ σπουδαιότατον καὶ πᾶν ὑπὲρ τούτου, εἰ δέοι, παθεῖν ἕτοιμον. P. ⟦ εἰ τριωβόλου: Ὅτι οὐχ ἵστατο τοῦ δικαστικοῦ ὁ μισθὸς, ἀλλὰ κατὰ καιρὸν μετέβαλλον.

sch plut 329 τοῦτο δὲ λέγει, ὥς τινων ἐκ τούτων δικαστῶν ὄντων. ⟧ —δεινὸν: Χαλεπόν. τριωβόλου: Ἕνεκα τριῶν ὀβολῶν. P. [ὠστιζόμεσθ᾽: Ἀντὶ τοῦ ὠθούμεθα.

sch plut 330 καὶ Ῥωμαῖοι ὤστια τὰς θύρας φασὶ παρὰ τὸ ἐξωθεῖν τὸν ἐπερχόμενον. ἐν τῇ ἐκκλησίᾳ δὲ οὐδεὶς ἐδίκαζεν, εἰ μὴ ἐπέβαινε τῶν ξ′ ἐνιαυτῶν· ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δέ. τούτους οὖν τοὺς ἐκκλησιαστὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τῶν τῆς πόλεως προσόδων οἱ δημαγωγοὶ πείσαντες τὴν πόλιν· ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.] —ὠστιζόμεσθ᾽: Εἰσερχόμεθα ἀλλήλους ὠθοῦντες πάντοτε. Θ. Dv. P. ὅτι οἱ Ῥωμαῖοι ὠστίας τὰς θύρας φασὶ καὶ τὸν θυρωρὸν ὠστιάριον. ἀπὸ τούτου οὖν ὠστίζω τὸ εἰσέρχομαι γίνεται. ἔστιν δὲ ὠστίζειν τὸ εἰσέρχεσθαι τινὰς ἀλλήλους ὠθοῦντας ἐπὶ τῆς θύρας. P. ἐκκλησίᾳ: Τῇ συναγωγῇ. P. παρείην: Καταλείψαιμι, παραχωρήσαιμί τινι.

sch plut 331 Θ. P. καθ᾽ ἑαυτὸν ὁ Βλεψίδημος σκέπτεται. V. Βλεψίδημον: Βλεψίδημος ὁ πρὸς τὸν δῆμον βλέπων, κἀκ τούτου τὰ πρὸς ζωὴν ποριζόμενος.

sch plut 332 ὑπηρέτης γὰρ ἦν τῶν τὰ δημόσια ἐνεργούντων. Junt., Dv. προσιόντα: Προσερχόμενον.

sch plut 333 P. βαδίσει: Περιπατήσει.

sch plut 334 τάχει: Συντομίᾳ. P. πόθεν: Ἀπὸ ποίας αἰτίας.

sch plut 335 τρόπῳ: Σκοπῷ. P. ἐξαπίνης: Καὶ ἐξάπινα.

sch plut 336 γίνεται παρὰ τὸ ἀφανὴς, ἄφινα, καὶ ἄπινα. Junt. οὐ πείθομαι: Οὐ πιστεύω. P. λόγος: Φήμη.

sch plut 337 Ἡρακλέα: Ὡς ἀποτρόπαιον τῶν κακῶν. Θ. P. ἐπὶ τοῖσι κουρείοισι: Διαβάλλει τοὺς Ἀθηναίους ὡς διημερεύοντας ἐπὶ τῶν κουρείων ἀργῶς (καὶ ἐν τοῖς ἰατρείοις ποιουμένους τὰς συντυχίας).

sch plut 338 —κουρεῖα δὲ ἦσαν ἐργαστήρια, ἐν οἷς οἱ βουλόμενοι [κείρειν Junt.] τὰς τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος [ἀπιόντες Junt.] ἐκείροντο, ὁπότε ἐκβαῖεν τοῦ μέτρου. Junt., P. κουρεῖα τὰ κοινῶς μπαρμπερεῖα. P. κουρίοις: Νέοις. Dv. ὅτι ἐξαίφνης ὁ ἀνὴρ ἐγένετο.

sch plut 339 P. θαυμαστὸν: Ἐκπληκτικόν.

sch plut 340 P. ἄξιον θαύματος. Dorvill. ἀγαθόν τι ποιῶν .

sch plut 341 .. μετακαλεῖται. P. οὔκουν ἐπιχώριόν τι: (Σκώπτει πάλιν τοὺς Ἀθηναίους ὡς ἐπιφθόνους.

sch plut 342 ) οὐκ ἀκολουθεῖ, φησὶ, τῇ Ἀθηναίων διαγωγῇ. καὶ ἀλλαχοῦ [Nub. 1176] «ἐπὶ τοῦ προσώπου γάρ ἐστιν Ἀττικὸν βλέπος.» —ἐπιχώριον: Ἐντόπιον, σύνηθες. Dv. σύνηθες τῇ χώρᾳ. Θ. οὐδαμῶς σύνηθες τῇ χώρᾳ τι πρᾶγμα ποιεῖ. P. διαβάλλει ἐντεῦθεν Ἀθηναίους ὡς φθονεροὺς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κακογνώμονας καὶ μὴ μεταδιδόντας τοῖς φίλοις χρηστοῦ τινος. Ρ. ἀλλ’ οὐδέν σε ἐγκαλύψας λέξω.

sch plut 343 Ρ. ἄμεινον: Κρεῖττον ποιοῦμεν.

sch plut 344 Dv. κρεῖττον ἢ πρὸ α ποιῶμεν, διάγωμεν. Ρ. τὴν εὐπραγίαν σοι.

sch plut 345 εἶ γὰρ τῶν φίλων: Ὑπάρχεις γὰρ ἀπὸ τῶν φίλων. Ρ. ἀντὶ τοῦ ὑπάρχεις. V. ἀληθῶς: Ὁμολογουμένως.

sch plut 346 Ρ. ἔσομαι: Γενήσομαι.

sch plut 347 αὐτίκα: Ταχέως πάνυ. Ρ. εἰ μή τι δεινὰ πάθω. θεὸν δὲ ἢ τὸν Πλοῦτον ἢ ἄλλον τινά. V. ἔνι: Ἔνεστι.

sch plut 348 κίνδυνος: Φόβος. Ρ. ἐὰν ἀποτύχωμεν δηλονότι. R. V. λέγ’ ἀνύσας: Οἱ λέγοντες τὸ ἀνύσας ἀντὶ τοῦ ἄνυσον καὶ τὸ λέξας ἀντὶ τοῦ λέξον οὐ καλῶς λέγουσιν.

sch plut 349 ἔχει δὲ οὕτως. λέγε ὅτι φῄς ποτε ἀνύσας, καὶ τελέσας τοῦτο· τουτέστιν, εἰς τέλος καὶ διασάφησιν ἀγαγὼν σὸν λόγον. Junt. οἷος: Μέγας. ἀνύσας: Σπεύσας. σύναπτε τὸ ποτέ πρὸς τὸ ἀνύσας. Θ. Ρ. κατορθώσωμεν: Ἃ βουλόμεθα.

sch plut 350 Θ. ἃ βουλεύομαι. Ρ. σφαλῶμεν: Ἀστοχήσωμεν, ἀποτύχωμεν τούτου.

sch plut 351 Θ. Ρ. ἐπιτετρίφθαι: Τοῦτο εἶπε φοβούμενος, μὴ ἀποτυχὼν ἐγείρῃ τὸν Δία πρὸς ὀργὴν, καὶ ἐπιτρίβῃ αὐτούς. Junt., Ρ. ἀφανισθῆναι λέγω παντελῶς. Θ. Ρ. (τὸ παράπαν: Ἀντὶ τοῦ παντελῶς,) κατὰ πάντα τρόπον, ἐξ ὁλοκλήρου. Ἀττικὸν τὸ σχῆμα. ἀρέσκει με γάρ φησι. φορτίον: Τὸ βάρος πρὸς ὃ δυσχεραίνεις καὶ δειλιᾷς.

sch plut 352 Ρ. τὸ πρᾶγμα. Br. τὸ φορτίον διχῶς λέγεται. τὸ βάρος. φορτίον καὶ ἡ μέμψις. Ρ. ἀρέσκει: Ἀρεστὸν ἐμοὶ δοκεῖ.

sch plut 353 ἐξαίφνης ἄγαν: Παραυτίκα λίαν. Ρ. καί μ’ οὐκ ἀρ.: Ἐμοί. Br. οὕτως: Ὡς ᾄδεται καὶ ὡς αὐτὸς λέγεις.

sch plut 354 Θ. Dv. Ρ. αὖ δεδοικέναι: Πάλιν δειλιᾶν, φοβεῖσθαι. Ρ. πρὸς: Περισσόν.

sch plut 355 Br. ἀργόν. Ρ. ἡ πρός περισσὴ Ἀττικῶς. ἔστι ἴδιον δηλ. κακοῦ. Ρ. ἀνδρὸς: Ἴδιόν ἐστι. Dv. Ρ. ὑγιές: Ἀληθές. Dv. ὀρθόν. εἰργασμένου: Πράξαντος. Ρ. πρὸς ἀνδρὸς: Ἡ πρός ἐνταῦθα οὔτε περισσή ἐστιν, ὡς οἴονταί τινες, οὔτε ἀντὶ τῆς ὑπό κεῖται, ἀλλὰ τὸ καθῆκον σημαίνει· ὡς καὶ παρὰ Σοφοκλεῖ [Aj. 581] οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδάς. πῶς κτλ: Ἴδιον ἀνδρὸς εἰργασμένου.

sch plut 356 Ρ. ἥκεις: Ἦλθες.

sch plut 357 Ρ. ἀργύριον ἢ χρυσίον: Ἃ ἀνατιθέασιν ἄνθρωποι τῷ θεῷ. Dv. Ρ. ἴσως: Τάχα.

sch plut 358 μεταμέλει: Μεταμέλεια γίνεται τῆς κλοπῆς. Θ. Ρ. μεταμέλει ἀντὶ τοῦ μεταφροντίζεις φοβούμενος τὸ ἁλῶναι. Θ. ἀποτρόπαιε: Ὡς ἐν ἀρνήσει εἴληφε τὴν τοῦ θεοῦ ἐπίκλησιν.

sch plut 359 —ἀποσοβητὰ τῶν κακῶν. Θ. Dv. Ρ. Δί’ ἐγὼ μὲν οὐ: Οὐδὲν τοιοῦτον ἐποίησα. Ρ. φλυαρῶν: Περισσολογῶν.

sch plut 360 οἶδα: Γινώσκω φανερῶς, ὅτι ἐπανούργησας. Ρ. ὅτι πεπανούργηκας. Θ. ὑπονόει: Ὑπόπτευε.

sch plut 361 Θ. Ρ. (φεῦ: Ἀποδυσπετεῖ, ὡς ἠρνημένου Χρεμύλου τὸ κακούργημα.) ὑγιές ἐστιν οὐδενὸς: Οὐδεὶς, ὃς δοκεῖ ἔχειν πλεονέκτημα, ἀρετῆς ὑγιῶς ἔχει.

sch plut 362 —Πλάτων Φαίδωνι [p. 67, D] «τελευτῶν δὴ θαμὰ προσκρούων μισεῖ τε καὶ πάντας ἡγεῖται οὐδενὸς οὐδὲν ὑγιὲς εἶναι τοπαράπαν.» Junt. ἀτεχνῶς ὑγιές: Φανερῶς ἀληθές. Θ. Ρ. οὐδενὸς: Ἀνθρώπου. Ρ. κέρδους .

sch plut 363

Eulogikon public reading copy · View original HTML at eulogikon.org

.. ἥττονες: Νικώμενοι ὑπὸ τοῦ κέρδους, ὥσπερ οὗτος ἡττᾶται καὶ τὸ ἀληθὲς οὐκ ἐθέλει λέγειν. Θ. P. ὑγιαίνειν μοι δοκεῖς: Ἐπεὶ τοιαῦτα κατ’ ἐμοῦ ὑποπτεύεις.

sch plut 364 Θ. Junt. οὔτοι: Οὐδαμῶς. δοκεῖς: Φαίνει. Paris. μεθέστηχ’ ὧν πρότερον: Πρώην γὰρ χρηστὸς ὢν, νῦν πανοῦργος γέγονεν.

sch plut 365 Θ. Junt. Dv. ὡς πολὺ: Λίαν καταπολύ. μεθέστηχ’: Μετεβλήθη. εἶχε: Ἐκέκτητο. Paris. μελαγχολᾷς: Μαίνῃ.

sch plut 366 P. τὸ βλέμμ’ αὐτοῦ: Αὐτοὺς τοὺς ὀφθαλμούς.

sch plut 367 P. κατὰ χώραν δὲ ἀντὶ τοῦ κατὰ τὸ πρέπον. R. κατὰ χώραν ἔχει: Κατὰ τὸ καθεστηκὸς καὶ ὡς δεῖ. Dv. κατὰ τάξιν. P. ἐπίδηλόν τι: Ἀλλ’ ἔστι τὸ βλέμμα αὐτοῦ ὅμοιον πεπανουργηκότι βλέμματι.

sch plut 368 —ἐπίδηλον: Φανερόν. Dv. πεπανουργηκότι: Αὐτῷ πανουργίαν ἐργασαμένῳ. P. πεπανουργευκότι: ἀντὶ τοῦ πεπανουργηκότος. R. οἶδ’ ὃ κρώζεις: Ὃ βοᾷς ὃ λέγεις.

sch plut 369 V. παροιμία ἐπὶ τῶν μάτην θρυλούντων, ὡς αἱ κορῶναι· (ἀντὶ τοῦ, σὺ ἄνω καὶ κάτω περὶ τοῦ κεκλοφέναι μοι διαλέγῃ.) — γινώσκω, διὸ φωνεῖς, ἀκαίρως φθέγγῃ καὶ ὀχλεῖς ἡμᾶς, ὡς κορώνη. Θ. Dv. P. ὡς ἐμοῦ τι κεκλοφότος: Τὸ ὡς οὐκ ἔστιν ἐνταῦθα ἀντὶ τοῦ ὅτι, ὡς οἴονταί τινες· οὐ γάρ ἐστι πρὸς τὸ ζητεῖς ἀλλὰ πρὸς τὸ κεκλοφότος· καὶ ἔστιν ἀντὶ τοῦ καθά· στίζων οὖν πρὸς τὸ κρώζεις, τὸ λοιπὸν λέγε κομματικῶς. Junt. ζητεῖς μεταλαβεῖν: Τῆς κλοπῆς.

sch plut 370 Θ. Dv. χρῄζεις κοινωνῆσαι, μετασχεῖν. μεταλαβεῖν: Τοῦτο διὰ μέσου εἴρηται. τίνος: Πράγματος. P. οὐ τοιοῦτον: Ὃ σὺ ὑπονοεῖς.

sch plut 371 Θ. P. ἥρπακας: Κατεδυνάστευσας.

sch plut 372 κακοδαιμονᾷς: Μαίνῃ, ἄθλιος εἶ καὶ κακοδαίμων. P. ἀπεστέρηκας: Ἀποστερῶ ἐστὶν, ὅταν παρακαταθήκην τινὸς λαβὼν εἰς διαβολὴν χωρήσω, καὶ οὐκ ἐθέλω διδόναι αὐτῷ, ἃ ἔλαβον.

sch plut 373 Junt. Dv. ἀπεστέρηκας: Τινὸς δηλονότι. Θ. τινὸς οὐδένα ἄνθρωπον. P. οὐ δῆτ’: Οὐδαμῶς, ἐποίησα δηλ.

sch plut 374 ὦ Ἡράκλεις: Φεῦ. P. φέρε: Τί ἄν τις εἴποι ἕτερον; Θ. Dv. P. φράσαι: Εἰπεῖν.

sch plut 375 P. κατηγορεῖς: Ναὶ οὐ θέλω δηλ.

sch plut 376 πρὶν μαθεῖν: Πρὸ τοῦ γνωρίσαι. μου: Σύναπτε τό μου πρὸς τὸ κατηγορεῖς. P. ⟦ ἐγώ σοι τοῦτ’ ἀπὸ σμικροῦ: Ὡς πρὸς εὑρηκότα ἡ διάλεξις.

sch plut 377 χρῆται δὲ τῇ πηλικότητι ἀντὶ ποσότητος. ⟧ —ὦ τᾶν: Ὦ φίλε. σμικροῦ: Ὀλίγου. P. τοῦτ’: Ὃ πεπανούργηκας. σμικροῦ: Ἀναλώματος. Dv. ἐθέλω: Χρῄζω.

sch plut 378 P. διαπρᾶξαι: Οἰκονομῆσαι. πυθέσθαι: Μαθεῖν, ἀκοῦσαι. Dv. τὸ στόμ’ ἐπιβύσας: (Φράξας· ὅθεν ὁ βυθὸς ὁ πεφραγμένος.

sch plut 379 τείνεται δὲ πρὸς τοὺς ῥήτορας, ἐπεὶ εἰώθασι τοῖς ἕρμαιον κεκληρωμένοις ἐπιφορτίζεσθαι ὡς κοινωφελῆ μοῖραν τοῦ εὑρημένου. κέρμασι δὲ τοῖς κέρδεσι.) ἐπιβύσας: ἀντὶ τοῦ ἐπιπλήσας. ὡς Ὅμηρος [Od. Δ, 134] «νήματος ἀσκητοῖο βεβυσμένον.» R. κλείσας. Θ. Dv. P. κέρμασι: Νομίσμασι. Dv. δωρήμασι, νομίσμασι, ἵν’ ὅταν καταστῇς εἰς κρίσιν, συνηγοροῦντας αὐτοὺς ἔχῃς διὰ τὴν δωροδοκίαν. Θ. Dv. P. εἰρωνικὸν τοῦτο.

sch plut 380 Θ. Dv. P. φίλως: Προσφιλῶς. Θ. C. P. ἐπιθυμητικῶς. ἐν εἰρωνείᾳ. V. μνᾶς: Λίτρας.

sch plut 381 ἀναλώσας: Ἐξοδιάσας. λογίσασθαι: Λογαριάσαι ἡμῖν. Θ. Dv. P. ἀντὶ τοῦ ὄψομαι εἶπε τὸ ὁρῶ.

sch plut 382 R. V. καθεδούμενον: Καθίζοντα. P. (ἱκετηρίαν ἔχοντα: Ἱκετηρία ἐστὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος.

sch plut 383 οἱ γὰρ ἱκετεύοντες αὐτὸν κατεῖχον τὸν κλάδον.) —ἱκετηρίαν: Κλάδον ἱκετικὴν κρατοῦντα. P. διοίσοντ’: Διαφορὰν ἕξοντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 384 Θ. P. ⟦ τῶν Παμφίλου: Ὁ Πάμφιλος οὗτος γραφεὺς ἦν· ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετεύοντας [εὐθέως P.

sch plut 385 ] μετὰ κλάδων ἐλαΐνων, ὅτε αὐτοὺς ἐκ Πελοποννήσου ἀπήλασαν. ἱκετηρία δέ ἐστι κλάδος ἐλαίας ἐρίῳ λευκῷ περιειλημένος, ὡς Πλούταρχος ἐν Παραλλήλοις [Thes. c. 18] φησί· καταχρηστικῶς δὲ καὶ πᾶσα ἱκεσία. ἐχρῶντο δὲ ἐλαΐνῳ κλάδῳ, ἵνα διὰ τούτου πρὸς ἔλεον τοὺς δικαστὰς ἕλκωσι. Dv. P. ⟧ τῶν Παμφίλου: ⟦ Πάμφιλος ζωγράφος ἦν, ὅστις τοὺς Ἡρακλείδας ἔγραψεν ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον· ⟧ (μετὰ γὰρ θάνατον Ἡρακλέους Εὐρυσθεὺς διώκει τοὺς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν [Ἡρακλέα τὸν ἐκείνων] πατέρα ἐμφύλιον μῖσος. ταύτην τὴν ἱστορίαν ἔγραψε Πάμφιλος ζωγράφος· κατὰ δέ τινας τραγικὸς ἦν, ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. Ἄλλως. Πάμφιλον μὲν Καλλίστρατος καὶ Εὐφρόνιος τραγῳδιῶν ποιητήν φασι καὶ διδάξαι Ἡρακλείδας. τὰ δὲ λίαν ἐπιτετηδευμένα ὑπομνήματα διστάζει, πότερον τραγικὸς ποιητὴς ἢ ζωγράφος, ὃν καθηγήσασθαί φασιν Ἀπελλοῦ. ἐν μέντοι ταῖς Διδασκαλίαις πρὸ τούτων τῶν χρόνων Πάμφιλος οὐδεὶς φέρεται τραγικός. γραφὴ μέντοι ἐστὶν οἱ Ἡρακλεῖδαι καὶ Ἀλκμήνη καὶ Ἡρακλέους θυγάτηρ Ἀθηναίους ἱκετεύοντες, Εὐρυσθέα δεδιότες, ἥτις Παμφίλου οὐκ ἔστιν, ὥς φασιν, ἀλλ᾽ Ἀπολλοδώρου. ὁ δὲ Πάμφιλος, [ὡς ἔοικε, καὶ] νεώτερος ἦν Ἀριστοφάνους. Ἄλλως.) οὗτος τραγῳδοποιός· ἔγραψε δὲ τοὺς Ἡρακλείδας ἱκετηρίαν ἔχοντας· ὁ γὰρ Εὐρυσθεὺς μετὰ θάνατον Ἡρακλέους τοὺς Ἡρακλείδας ἐδίωξε, καὶ οὗτοι μετὰ τῆς Ἀλκμήνης παρεκάλεσαν τοὺς Ἀθηναίους βοηθῆσαι αὐτοῖς, ὅπερ καὶ ἐγένετο τὰ οὖν συμβάντα αὐτοῖς ζωγράφος τις Πάμφιλος Ἀθηναῖος εἰς τὴν στοὰν τῶν Ἀθηναίων ἔγραψε, καὶ αὐτοὺς ἱκετεύοντας. τοῦτο οὖν λέγει, ὅτι οἱ καταδικαζόμενοι μετὰ τῶν παιδίων καὶ τῶν γυναικῶν παρακαλοῦσιν ἐλευθερωθῆναι τοῦ ἐγκλήματος. οὐκ, ὦ κακόδαιμον: Εἰ γὰρ, ὡς σὺ φῂς, ἐκεκλόφειν, φαῦλος ἂν ἦν τὸν τρόπον· φαῦλος δὲ ὢν, οὐκ ἂν παρέσχον ἄλλῳ τινί.

sch plut 386 νῦν δὲ τοῖς χρηστοῖς προῃρημένος δοῦναι, δῆλον ὅτι ἀγαθός εἰμι· εἰ δὲ ἀγαθὸς, οὐ κέκλοφα. — οὐκ: Ὄψει ἐμὲ οὕτως ἔχοντα, δυστυχέστατε. Θ. Dv. P. χρηστοὺς: Ἀγαθούς. P. σώφρονας: Εὐτάκτους.

sch plut 387 P. καὶ τοὺς δικαίους. Θ. σώφρων λέγεται κυρίως ὁ εὐλαβὴς ἄνθρωπος. λέγεται σώφρων καὶ ὁ σώαν ἔχων τὴν φρόνησιν, ἐξ οὗ καὶ σωφροσύνη ἡ τῶν φρενῶν ἀκεραιότης. P. ἀπαρτί: (Ὀξυτόνως, ἀντὶ τοῦ ἀπηρτισμένως·) ἐπίρρημα δέ ἐστιν ὡς ἀμογητὶ, παρὰ τὸ ἀπηρτισμένον καὶ πλῆρες.

sch plut 388 κέχρηται δὲ αὐτῷ Ἡρόδοτος [2, 158] λέγων, «ἀπὸ τούτου εἰσὶ στάδιοι ο′ ἀπαρτί.» καὶ Φερεκράτης ἐν Κραπατάλοις «φράσον μοι. ἀπαρτὶ δή που προσλαβεῖν» (συνωνυμεῖ ἡ λέξις· ἔσθ᾽ ὅτε γὰρ καὶ χρονικὸν ἐπίρρημα δηλοῖ ὡς καὶ Καλλίμαχοσ)—καὶ Πλάτων [Lys. p. 215, C] ἐπὶ τοῦ νῦν «ἤδη ποτέ σου «ἤκουσα λέγοντος καὶ ἄρτι ἀναμιμνήσκομαι.» ταῦτα ἐκ τῶν Διδύμου περὶ διεφθορυίας λέξεως. V. ἀπηρτισμένως, τελείως. Θ. Dv. P. ἀπὸ τοῦ νῦν. D. Cant. 2. νεωστί. C. ὡς κοινωνεῖν πάντας ποιῆσαι.

sch plut 389 Dv. P. ἀπολεῖς: Φθερεῖς.

sch plut 390 οἰήσονται γάρ τινες, ὡς ἀληθῆ λέγεις. ἀπολεῖς, οὐκ ἐθέλων τἀληθὲς εἰπεῖν. σεαυτὸν: Μᾶλλον ἀπολεῖς. P. μόχθηρε: Κακέ.

sch plut 391 P. ἔχω: Κέκτημαι.

sch plut 392 ὁποῖον: Ἀττικόν. P. ἐρωτηματικὸν ἀντὶ τοῦ ποῖον. C. ⟦ οὐκ ἐς κόρακας: Τόπος ἦν ἐν Ἀθήναις κρημνώδης Κόρακες καλούμενος, διὰ τὸ κοράκων εἶναι καταγώγιον· εἰς ὃν τοὺς κακούργους ἔρριπτον ὑπὸ κοράκων ἀναλωθησομένους· ἐλήφθη δὲ εἰς παροιμίαν τὸ, [ἔρρ᾽ P.

sch plut 394

Eulogikon public reading copy · View original HTML at eulogikon.org

] ἐς κόρακας. [ἀντὶ τοῦ ἀπελθὼν φάνηθι. P.] Dv. P. οὐκ ἐς κόρακας: Ἀπέλθῃς καὶ ἀπελεύσῃ. νὴ τοὺς θεοὺς: Ναί. P. ⟧ . ⟦ πρὸς τῆς Ἑστίας: Ἡ Ἑστία θυγάτηρ ἦν Κρόνου, καταρχὰς τὴν οἰκίαν εὑροῦσα, ἣν ἐντὸς τῶν οἴκων ἔγραφον, ἵνα τούτους συνέχῃ, καὶ τῶν οἰκούντων εἴη φύλαξ.

sch plut 395 οὕτω καὶ ἐφέστιον Δία καλοῦσιν, ὃν εἰς φυλακὴν τῶν οἴκων γράφουσιν. Junt. ἕνεκεν αὐτῆς τῆς Ἑστίας τῆς θεᾶς. P. Ἑστίας: Περιττὸν ἦν ἐνταῦθα τὸ λέγω, διὸ καὶ ἐξεβλήθη παρ’ ἐμοῦ. ὀφείλει δὲ ἄνω κεῖσθαι, ἀπὸ κοινοῦ γὰρ λέγεται ἀπὸ τοῦ λέγεις. P. ⟧ θαλάττιον: Παίζει αὐτὸν ἐνταῦθα.

sch plut 396 Θ. Dv. P. παίζει δὲ ταῦτα λέγων. V. διὰ τὸ μὴ ἀνέχεσθαι τὸν Βλεψίδημον ἀκοῦσαι λόγον ὁλόκληρον παρὰ Χρεμύλου, ἀλλὰ ἀφ’ ἕκαστον ἔπος περιτρίπτειν αὐτὸν, ἐμφαίνει ὁ ποιητὴς τὴν γνώμην τῶν ἐπιθυμούντων τίθεσθαί τι παρά του.

sch plut 397 P. διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους: Ὅτι οὐ μετεστείλατο τὸν Βλεψίδημον· ἀκηκοὼς δὲ ἦλθε.

sch plut 398 ἡ δὲ διά ἀντὶ τῆς μετά. —τοὺς φίλους: Τὸν Πλοῦτον δηλ. P. τούτῳ: Ἐν τῷ πέμψαι.

sch plut 399 R. τῷ διαπέμπειν. Θ. Dv. P. οὐ τῷ μεταδοῦναι: Κατέστη τὰ πράγματα δηλ δεῖ: Ἐνδέχεται.

sch plut 400 τί: Ἐνδέχεται. P. βλέψαι ποιῆσαι νώ: Ὅτι τὸ νώ ἀντὶ τοῦ αὐτός· ἢ ἀντὶ τοῦ δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

sch plut 401 —νώ: Τὸ χ κεῖται, ὅτι τὸν νώ ἀντὶ τοῦ αὐτόν ἢ ἀντὶ τοῦ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι εἴρηται. Θ. P. ὥσπερ τὸ πρότερον: Ἔπρεπε δηλ P.

sch plut 402 ἑνί γέ τῳ τρόπῳ: Τινὶ, ἤγουν μιᾷ τινι μηχανῇ. Dv. ἀντὶ τοῦ συντόμως. V. νὴ τὸν οὐρανὸν: Διὰ τὸ λαμπῶδες τοῦ οὐρανοῦ τοῦτον ὄμνυσι πρὸς τὸ τυφλός.

sch plut 403 Θ. Dv. οὐκ ἐτὸς: Οὐκ ἀλόγως, ἀλλὰ δικαίως.

sch plut 404 ἢ ἀντὶ τοῦ οὐκ ἀληθῶς. ἐπιρρηματικὸν γάρ ἐστιν ἀντὶ τοῦ ἐτῶς ἀπὸ τοῦ ἐτεῶς συνῃρημένου. —ἐτὸς: Μάτην (Θ.), οὐκ ἀλόγως. P. ὡς ἔμ’: Εἰς ἐμέ. Θ. Dv. οὐκοῦν: Τὸ λοιπόν.

sch plut 406 εἰσαγαγεῖν: Εἰσκαλέσασθαι χρή. P. ἐχρῆν: Πολλάκις οἱ Ἀττικοὶ λαμβάνουσιν τὸν παρατατικὸν ἀντὶ ἐνεστῶτος, ὡς τὸ ἦν ἀντὶ τοῦ ἐστίν, καὶ τὸ ἐχρῆν ἀντὶ τοῦ χρή. P. ὅτι συνεσταλμένον τὸ ἰατρός.

sch plut 407 R. χλευάζει τοὺς Ἀθηναίους ἰατροὺς καὶ τοὺς θεραπευομένους, τοὺς μὲν ὡς ἀγνώμονας, τοὺς δὲ ὡς ἀδόξους. Ἄλλως. συνεσταλμένως μὲν τὸ ἰατρός. Ἄλλως. καινοποιεῖται τὸν διασυρμὸν καὶ κατὰ τῶν ἰατρῶν καὶ κατὰ τῶν θεραπευομένων, τῶν μὲν ὡς ἀτέχνων, τῶν δὲ ὡς φειδωλῶν. V. τίς δῆτ’ ἰατρός ἐστι: ⟦ Διασύρει καὶ ⟧ διαβάλλει τοὺς ἰατροὺς ὡς ἀμαθεῖς καὶ τοὺς δεομένους ὡς μικρολόγους. —τίς δῆτ’: Οὐδείς. ἐν τῇ πόλει: Ἐντελὴς δηλ. P. μισθὸς: Οὐ κατ’ ἀξίαν δίδοται.

sch plut 408 P. οὐκ ἔστιν: Ἰατρὸς δηλ.

sch plut 409 P. ⟦ μὰ Δί’ ἀλλ’ ὅπερ πάλαι: Τὸ ἑξῆς, ἀλλ’ οὐκ ἔστι μὰ Δία, ἀλλ’ ἐκεῖνο κράτιστόν ἐστιν, ὅπερ πάλαι παρεσκευαζόμην, κατακλῖναι αὐτόν.

sch plut 410 ⟧ —μὰ Δί’: Οὐκ ἔστιν δηλ. παρεσκευαζόμην: Ηὐτρεπιζόμην. P. ᾠκονομούμην. Dv. κατακλίνειν: Καταθήσειν.

sch plut 411 Θ. Dv. P. εἰς Ἀσκληπιοῦ: Τὸν ναόν. Θ. Dv. τὸν οἶκον δηλ. P. πολὺ μὲν οὖν: Κράτιστόν ἐστι.

sch plut 412 Θ. P. μὴ διάτριβε: Μὴ βράδυνε.

sch plut 413 Θ. Dv. νῦν διάτριβ’: Δὴ βράδυνε, χρόνιζε. ἄνυε: Σπεῦδε. ἕν γέ τι: Πρᾶγμα. P. ἀντὶ τοῦ πρᾶγμά τι. R. ⟦ σπεῦδέ νυν: Τοῦτο τὸ νυν καθ’ ὁμαλισμὸν ἀναγνωστέον, ἵν’ εἴη ἀντὶ τοῦ δή.

sch plut 414

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγκλίνεται γὰρ ἀεὶ, καὶ βραχύ ἐστι, φωνήεντος ἐπιφερομένου· ὡς τὸ σίγα νυν ἑστὼς, καὶ μέν’ ὡς κυρεῖς ἔχων, παρὰ Σοφοκλεῖ [Aj. 87] τὸ δέ γε νῦν τὸ περισπώμενον ἐπίρρημά ἐστι χρονικὸν, καὶ μακρὸν ἀεὶ εὑρίσκεται· διὸ καὶ περισπᾶται. ⟧ —τοῦτ’ αὐτὸ: Τὸ σπεύδειν. P. ⟦ ὦ θερμὸν ἔργον: Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι, ὡς οἱ προφθάντες, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ογ′, ὧν τελευταῖος ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.

sch plut 415 ἐπὶ τῷ τέλει κορωνίς. ⟧ θερμὸν ἔργον: Παράδοξον, ἢ τολμηρὸν, ἢ εὐκίνητον. Πενία παραβάλλουσα μάχεται πρὸς Χρεμύλον καὶ Βλεψίδημον. —θερμὸν ἔργον: Σπουδαῖον καὶ τολμηρόν. Dv. τολμηρὸν πρᾶγμα. ἀνόσιον: Ἄδικον. P. ἀνθρωπαρίω κακοδ.

sch plut 416 : Ὦ ἄνθρωποι δυστυχεῖς. Paris. ποῖ, ποῖ: Ποῦ ποῦ πορεύσεσθε.

sch plut 417 τί φεύγετον: Διὰ τί; μενεῖτον: Προσκαρτερήσετε ἐμέ. P. προσκαρτερεῖτε. Dv. αὕτη ἡ κατασκευὴ τὸ «ἐγὼ γάρ,» πρὸς τὸ «οὐ μενεῖτον» ἔχει τὴν δύναμιν.

sch plut 418 P. ἐξολῶ: Ἐξολοθρεύσω. Θ. Dv. ἀφανίσω, φθερῶ, ὄντας κακούς. P. ἀνασχετὸν: Ὑπομονητόν.

sch plut 419 Θ. Dv. ἀλλὰ τοιοῦτον, οἷον ἄλλος οὐδεὶς ἐτόλμησε οὐδεπώποτε.

sch plut 420 P. ἀπολώλατον: Ἐφθάρητε.

sch plut 421 Dv. ὠχρὰ: Ὠχροὶ γάρ εἰσιν οἱ πένητες διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἴσως φαγεῖν.

sch plut 422 V. κίτρινος. P. τοιοῦτοι γὰρ οἱ πένητες. R. Θ. Lv. ἴσως Ἐριννύς ἐστι: (Ἐπισκώπτει αὐτὴν διὰ τὴν τῶν Ἐριννύων Εὐριπίδου ἢ Αἰσχύλου ὑπόθεσιν· παρεισάγονται γὰρ μετὰ λαμπάδων δεινοπαθοῦσαι, ὡς καὶ Εὐριπίδης [Orest.

sch plut 423 261] «Γοργῶπες, ἐνέρων ἱερίαι, δειναὶ θεαί.» Ἄλλως. εἰώθασιν οἱ τραγῳδοὶ Ἐριννύας εἰσφέρειν μετὰ λαμπάδων·) τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει. —ἐκ τραγῳδίας: Ὡς οἱ ποιηταὶ ποιοῦσιν οἱ τραγικοί. P. ⟦ βλέπει γέ τοι: Τὸ γέ τοι ἢ ἀντὶ τοῦ δέ, ἢ ἀντὶ τοῦ γάρ· ὃ καὶ κρεῖττον.

sch plut 424 εὕρηται δὲ καὶ ἐν πολλοῖς τῶν λογοποιῶν, ὡς ἐξετάζων εὑρήσεις. ⟧ ⟦ τραγῳδικὸν: Θρηνῶδες, καὶ οἷον ἐν ταῖς τραγῳδίαις οἱ ποιηταὶ εἰσάγουσι. ⟧ —βλέπει: Ὀρθῶς ἔφης δηλ. P. γέ τοι: Γάρ. μανικὸν: Ἄγριον. Dv. ἀσυμπαθές. P. τραγῳδικὸν: Δαιμονικόν. Dv. θρηνῶδες. P. ἀλλ’ οὐκ ἔχει γὰρ δᾷδας: Ἐπειδὴ παρὰ (τὸ) σχῆμα ἦλθε· καὶ γὰρ ἐν ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήρχοντο αἱ Ἐριννύες.

sch plut 425 ⟦ τὸ δὲ γὰρ ἀργὸν, ὡς ὑποτασσόμενον τοῦ ἀλλά. ⟧ —ἔχει: Κρατεῖ. P. μετὰ δᾴδων εἰσήγαγον τὰς Ἐριννύας, δεικνύντες τὸ θερμὸν καὶ διάπυρον τῶν καταρῶν. P. οὐκοῦν κλαύσεται: (Ἀντὶ τοῦ οἰμώξεται,) ὡς μὴ οὖσα κατὰ φύσιν φοβερὰ, ἀλλὰ μάτην ἀπατῶσα ἡμᾶς. πανδοκεύτριαν: Ἀντὶ τοῦ κάπηλιν, παρὰ τὸ δέχεσθαι πάντας.

sch plut 426 εἴρηται κάπηλις παρὰ τὸ κακύνειν τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος· ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπηλος οὖσα, ἡ ἐν αὑτῇ ἔχουσα τὸν πηλόν. —οἴεσθε: Νομίζετε. P. πανδοχεύτριαν: Ξενοδόχον. Θ. Dv. πανδοκεύτριαν: Καπήλισσαν. P. ἢ λεκιθόπωλιν: (Ἀπὸ τοῦ χρυσίζοντος τοῦ ὠοῦ, ᾠόπωλιν· λέκιθος δὲ κυρίως τὸ ξανθὸν τοῦ ὠοῦ, διὰ τὸ τῷ λέπει κεύθεσθαι.

sch plut 427 ἔστι δὲ καὶ) εἶδος ὀσπρίου, ὃ καλεῖται πίσος διὰ τὸ ἐοικέναι τὴν χροιὰν λεκίθῳ ὠοῦ. ἀπὸ μέρους οὖν τὴν ὀσπριόπωλιν δηλοῖ. καὶ ἐν τῇ Λυσιστράτῃ [561] κέχρηται τῇ λέξει· (νὴ Δί’ ἔγωγ’ οὖν ἄνδρα κομήτην φυλαρχοῦντ’ εἶδον ἐφ’ ἵππῳ εἰς τὸν χαλκοῦν ἐμβαλλόμενον πῖλον λέκιθον παρὰ γραύς. ) λεκυθόπωλιν: Ὀσπριοπώλιδα. λέκυθος εἶδος ὀσπρίου. ἢ ᾠοπώλιδα. λέκυθος γὰρ καὶ ὁ κροκὸς τοῦ ὠοῦ. Θ. ὀσπριόπωλιν. Dv. ὀσπριόπωλιν μετὰ ὠοῦ πωλοῦσαν. P. λεκυθόπωλις λέγεται ἡ τὰ ὑέλινα ἀγγεῖα κυρίως πωλοῦσα. P. τοσουτονὶ: Μέγα. Dv. ἐνέκραγες: Ἐλοιδόρεις, ὥσπερ αἱ κύνες ποιοῦσι.

sch plut 428

ἀνέκραγες: Ἠπείλεις. ἡμῖν: Παρ’ ἡμῶν. Dv. ὥσπερ ἐκεῖναι ποιοῦσιν ἀλόγως καὶ δίχα προφάσεως ἀεὶ θόρυβον ἐγείρουσαι. Θ. ἄληθες: Ἀληθῶς τοῦτο λέγετε· ἐστὶ δὲ εἰρωνικόν.

sch plut 429 Θ. Dv. τοῦτο λέγετε, ὅτι οὐκ ἠδικήσατε ἐμὲ μεγάλως. Ρ. τὸ μὲν προπαροξύτονον ἄληθες ἀντὶ ἐπιρρήματος λαμβάνεται, ὡς κἀνταῦθα. τὸ δὲ ὀξύτονον τὸ ἀληθὲς, οἷον τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι, ὄνομά ἐστι. Ρ. χώρας ἐκβαλεῖν: Τῶν Ἀθηναίων ἀποδιῶξαι.

sch plut 430 Ρ. ἐκβαλεῖν: Ἀποδιῶξαι. Dv. τὸ βάραθρον: Χάσμα τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς κακούργους ἔβαλλον.

sch plut 431 ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκίνοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω. (ἐνταῦθα τὸν Φρύγα τὸν τῆς μητρὸς τῶν θεῶν ἐνέβαλον ὡς μεμηνότα, ἐπειδὴ προέλεγεν ὅτι ἔρχεται ἡ Δημήτηρ εἰς ἐπιζήτησιν τῆς Κόρης. ἡ δὲ θεὸς ὀργισθεῖσα ἀκαρπίας ἔπεμψε τῇ χώρᾳ· καὶ γνόντες τὴν αἰτίαν διὰ χρησμοῦ, τὸ μὲν χάσμα κατέχωσαν, τὴν δὲ θεὸν θυσίαις ἵλαον ἐποίησαν.) —ὑπόλοιπον: Περιλελειμμένον. Ρ. τὸ βάραθρον: Ὁ ᾅδης. Dv. ὁ κρημνός. Ρ. αὐτίκα μάλα: Ἤγουν λίαν συντόμως.

sch plut 432 Dv. τὸ πρᾶγμα λέγειν, οὐ τὸ ὄνομα. R. ἐκείνη εἰμὶ δηλ.

sch plut 433 ἢ κτλ. σφῷ: Ὑμῖν. δίκην: Τιμωρίαν. Ρ. ἐνθάδ’: Ἀπ’ ἐντεῦθεν.

sch plut 434 Ρ. καπηλὶς: Κάπηλις προπαροξυτόνως ἡ τὸν οἶνον πιπράσκουσα γυνὴ, ἀπὸ τοῦ κακύνειν, ὅ ἐστι δολοῦν, τὸν πηλὸν, ἤτοι τὸν οἶνον· —ὡς καὶ ἄμπελος ἡ ἔμπηλος οὖσα.

sch plut 435 Ρ. καπηλὶς δὲ ὀξυτόνως ὑποκοριστικῶς, ἡ ταύτης ὑπηρετὶς τῆς καπήλεως. Junt. ἡ κάπηλις: Ἡ οἰνοπῶλις. Θ. Dv. ἡ ’κ τῶν γειτόνων: Ἤτοι ἡ πλησίον οὖσα. Ρ. (ἢ ταῖς κοτύλαις: Ἀντὶ τοῦ παρακλέπτουσά με ταῖς κοτύλαις· ἥτις, φησὶ, κοντομετροῦσά με βλάπτει· οἷον ταῖς μεταφοραῖς τῶν μέτρων ἀπατῶσά με, [ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσιν·] ὡς τοῦ Βλεψιδήμου πεπωκότος καὶ δεδωκότος ἀργύριον.

sch plut 436 κοτύλη δέ ἐστιν εἶδος μέτρου, ὃ λέγομεν ἡμεῖς ἡμίξεστον.) —τοῖς μέτροις ἐν οἷς πιπράσκει τὸν οἶνον ζημιοῖ. Θ. Dv. κοτύλαις: Καρτελούραις. (Θ.) διαλυμαίνεται: Ἀφανίζει. Ρ. λυμαίνεταί με, φησὶ, ταῖς κοτύλαις, ἐπεὶ οὐ πλήρεις αὐτάς μοι δίδωσιν, ἢ μετὰ ὕδατος μιγνύουσα δίδωσι. κοτύλη δὲ οὐ μόνον τὸ κοῖλον τῆς χειρὸς, ἀλλὰ καὶ εἶδος μέτρου, ὃ ἡμεῖς ἡμίξεστον λέγομεν. λέγεται καὶ ἐπὶ τῶν ποδῶν τοῦ πολύποδος καὶ τὸ ἰσχίον τοῦ μηροῦ. Πενία μὲν οὖν: Οὐκ εἰμὶ ἣν λέγετε.

sch plut 437 Θ. Dv. μὲν οὖν: Εἰμί. ξυνοικῶ: Συνυπάρχω. Ρ. ἄναξ Ἄπολλον: Ἰδίως τὸν Ἀπόλλωνα ἢ ὡς ἀλεξίκακον καὶ χρησμοὺς παρέχοντα πρὸς ἀποτροπὴν τῶν δεινῶν, ἢ ὡς πατρῷον θεόν.

sch plut 438 —παρεπιγραφή· ὅτι Βλεψίδημος ἔφευγεν ἀκούσας ὅτι ἡ πενία ἐστίν Θ. Dv. ποῖ: Ποῦ. Ρ. τί δρᾷς: Παρεπιγραφή.

sch plut 439 ὁρᾷ γὰρ τοῦτον φεύγοντα. Ρ. θηρίον: Δειλότατον μὲν αὐτὸν λέγει διὰ τὴν παροῦσαν φυγήν· θηρίον δὲ διὰ τὸ θηριωδῶς πρὸς Χρεμύλον πρώην διατεθῆναι καὶ ἐλέγχειν αὐτόν. Ρ. ⟦ ἥκιστα πάντων: Ὥσπερ φαμὲν μάλιστα πάντων, καὶ ἔστι τὸ μάλιστα ἐπίτασις ὑπερθετικὴ, οὕτω καὶ ἥκιστα πάντων, καί ἐστιν ἀπαγόρευσις ὑπερθετική.

sch plut 440 ⟧ —οὐδαμῶς. (R. Θ.) ἀργόν. Ρ. πόνηρ’: Γεωργέ.

sch plut 442 Dv. ταλαίπωρε. οὐδαμοῦ: Ἔν τινι τρόπῳ. Ρ. ἐξωλέστερον: Ἀπολέσθαι ὀφεῖλον, ἢ ἐξολοθρευτικώτερον, ἢ μᾶλλον ἐξολέσαι δυνάμενον.

sch plut 443 —ἐξωλέστερον: Ὀλεθριώτερον. Θ. Dv. φθαρτικώτερον, μᾶλλον ἐξολέσαι δυνάμενον. Ρ. ἀντιβολῶ: Παρακαλῶ.

sch plut 444 ἐγὼ μὲν οὔ: Στήσομαι. Ρ. παρὰ πολὺ: Κατὰ πολὺ, σφόδρα· ὡς παρὰ Θουκυδίδη ἐν πρώτῳ [c.

sch plut 445

Eulogikon public reading copy · View original HTML at eulogikon.org

29] «καὶ ἐνίκησαν Κερκυραῖοι παραπολύ.» —παρὰ πολὺ: Κατά. Dv. παραπολὺ: Ἀντὶ τοῦ πάνυ πολύ. καὶ Θουκυδίδης «ὅτι ἐνίκησαν Κορκυραῖοι παρὰ πολύ.» R. τὸν θεόν: Τὸν Πλοῦτόν φησι.

sch plut 446 V. ἔρημον: Ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ, παρὰ τὸ ἔραν μόνην ἔχειν.

sch plut 447 ⟦ ἀπολιπόντε ποι: Τὸ ποι ἐνταῦθα οὐκ ἔστιν ἐρωτηματικὸν, ἀλλ' ἀόριστον· ἐπὶ μὲν γὰρ κινήσεως μόνον τὸ ποῖ διὰ τῆς ο καὶ ι διφθόγγου γράφεται. διὰ δὲ τοῦ η γραφόμενον καὶ ἐπὶ στάσεως καὶ κινήσεως τίθεται· καὶ δῆλον ἐκ τοῦ, «πᾶ βῶ; πᾶ στῶ;» παρ' Εὐριπίδῃ [Hec. 1057] . εἰ δέ που καὶ διὰ διφθόγγου εὕρηται ἐπὶ στάσεως, κατὰ παράχρησίν ἐστιν. ⟧ —που φευξούμεθα: Ἔν τινι τόπῳ ἀποδράσομεν. P. τηνδὶ: Τὴν πενίαν.

sch plut 448 (V.) διαμαχούμεθα: Ἐναντιωθῶμεν. Dv. μαχεσόμεθα. LB. μὴ θελήσομεν προμαχέσασθαι. V. ἤτοι μὴ θελήσομεν προμαχίσασθαι. P. μαχούμεθ' αὐτῇ· ἀσθενεῖς γάρ ἐσμεν πρὸς μάχην ὑπὸ τῆς ἐνδείας.

sch plut 449 Θ. Dv. ἢ ποίᾳ δυνάμει θαρροῦντες. Paris. θώρακα: Ὅπλον.

sch plut 450 Dv. λουρίκην. P. ἀσπίδα: Σκουτάριον. Dv. σουσάνιον. Gl. ap. Ducang. Gloss. p. 1413. οὐκ ἐνέχυρον: (Δῆλον ὡς οὐ μόνον ἐνέχυρά φασιν, ἀλλὰ καὶ ἐνέχυρον.

sch plut 451 φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα. λέγει οὖν ὅτι αὕτη τῇ ἑαυτῆς βίᾳ ἀναγκάζει καὶ τοὺς νόμους παραβαίνειν τοὺς θεσπίσαντας ὅπλα ἐνέχυρα μὴ τιθέναι.) [δέον εἰπεῖν ὅτι οὐ τιτρώσκει, ὡς ἐπὶ τῶν ὄντων ἐν πολέμῳ εἶπεν οὐκ ἐνέχυρον τίθησιν.] ⟦ εἰκότως δὲ τίθησι καὶ οὐ τέθεικε, δεικνὺς τὸ ἀεὶ οὕτω ταῦτα γίνεσθαι ἐν τοῖς πένησιν· ἀεὶ γὰρ ἀποροῦντες ἐνέχυρα τιθέασιν. ⟧ — ἐνέχυρον: Σημάδιον. Dv. τροπαῖον: Οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν, οἱ δὲ νεώτεροι προπαροξύνουσιν, ⟦ ὡς παρὰ τουτῳῒ τῷ ποιητῇ ἐν Θεσμοφοριαζούσαις [696] γυναῖκες οὐκ ἀρήξετ'; οὐ πολλὴν βοὴν στήσεσθε καὶ τροπαῖον; καὶ οἶμαι κατ' ἀναλογίαν τοῦτο μᾶλλον παρὰ σφίσιν ἢ τοῦτο προφέρεσθαι, ὡς ἀπὸ τοῦ τρίτη τὸ τριταῖον, καὶ ἀπὸ τοῦ οὐρὰ τὸ οὐραῖον.

sch plut 453 ἔστι δὲ τρόπαιον, ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον ἢ λίθον μέγαν ἱστάντες, καὶ γράφοντες ἐν τούτῳ, ἃ κατὰ τῶν ἀντιπάλων ἔργα δεδράκασιν· ἐκαλεῖτο δὲ τρόπαιον διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι. ⟧ —τρόπαιον: Νίκην. Dv. ἀναστήσαιτο: Ἐγερεῖ. P. τῶν αὐτῆς τρόπων: Τῶν κακῶν ἐθῶν, ἃ εἰς τοὺς ἔχοντας αὐτὴν ἐργάζεται. Θ. Dorvill. τὸ τυχὸν φθέγγεσθαι.

sch plut 454 καθάρματα δὲ αὐτούς φησιν ἀντὶ τοῦ εὐτελεστάτους. ἐπὶ αὐτοφώρῳ δὲ, ἐπὶ φανεροῖς ἐλέγχοις συνειλημένοι. V. ⟦ ὦ καθάρματε: Καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λοιμοῦ τινος ἤ τινος ἑτέρας νόσου θυόμενοι τοῖς θεοῖς. τουτὶ δὲ τὸ ἔθος καὶ παρὰ Ῥωμαίοις ἐπεκράτησε· λέγεται δὲ καὶ καθαρισμός. ⟧ —γρύζειν: Ποσῶς φθέγγεσθαι. καθάρματα: Βδελύγματα. Dv. P. ἐπ' αὐτοφώρῳ εἰλημμένω: Φανερῶς, ἐπ' αὐτῷ τῷ ἔργῳ· κυρίως δὲ ἐπὶ τῶν κλεπτῶν τοῦτο λέγεται· φὼρ γὰρ ὁ κλέπτης.

sch plut 455 Θ. φανερῶς ἐπ' αὐτῇ τῇ κλεψίᾳ κρατηθέντες. Dv. ἐπ' αὐτοφώρῳ: Ἐπ' αὐτῷ τῷ κλέμματι. εἰλημμένω: Κεκρατημένω. P. κρατηθέντες. Θ. ⟦ τί λοιδορεῖ: Τὸ λοιδοροῦμαι παθητικῶς δοτικῇ συντάσσεται, ἐνεργητικῶς δὲ αἰτιατικῇ· ὃ καὶ ἀγνοοῦντές τινες λοιδορεῖς ἐνταῦθα γράφουσι, τὸ ἡμῖν πρὸς τὸ προσελθοῦσα συνάπτοντες.

sch plut 456 ⟧ —κάκιστ' ἀπολουμένη: Μέλλουσα κακίστως ἀφανισθῆναι. P. λοιδορῇ: Ὑβρίζεις. Dorvill. οὐδ' ὁτιοῦν: Οὐδόλως.

sch plut 457 P. ὦ: Ἄνδρες.

sch plut 458 Dv. πειρωμένω: Βουλόμενοι ποιεῖν ἀναβλέψαι.

sch plut 459 P. τοῦτό σε: Κατὰ τοῦτό σε.

sch plut 460 P. ἐκπορίζομεν: Ἐξευρίσκομεν, περισσὴ (δὲ) ἡ πρόθεσις.

sch plut 461 R. V. παρέχομεν. P. ὅ τι: Ἀγαθὸν ἐξεύροιμι.

sch plut 462 P. ἐκβαλόντες: Ἀποδιώξαντες.

sch plut 463 Dv. ἐκδιώξαντες. Paris. κακὸν: Ἄλλο.

sch plut 465 P. ἐκ κοινοῦ κακὸν μέγιστον.

sch plut 466 R. δρᾷν μέλλοντες: (Ἀντὶ τοῦ,) εἰ μέλλοντες ἐκβαλεῖν σε ἐπιλαθοίμεθα. μέγα κακὸν πράττομεν τότε, (εἰ τοῦτο δρᾶν μέλλοντες, τὸ ἐκβαλεῖν σε, ἐπιλαθοίμεθα. Ἄλλως. ἐκ παραδόξου εἰρηκώς φησι, δράσαιμεν κακὸν ἀντὶ καλόν. ἢ εἰκῇ ἡ ἀπόκρισις.) —ἐπιλαθοίμεθα: Κακὸν μέγιστον ἐργασόμενοι ἀπὸ κοινοῦ. P. περὶ τούτου: Τοῦ ἐκβαλεῖν με.

sch plut 467 σφωϊν: Ὑμῖν. P. σφῶϊν: Ὑμῖν· συνίζησις. Dv. δοῦναι λόγον: Ἤγουν διαλεχθῆναι. Θ. Dv. P. τὸ πρῶτον αὐτοῦ: Τὸ αὐτοῦ ἐπιρρηματικῶς, ἀντὶ τοῦ ἐνταῦθα· ἢ σύναπτε τῷ τούτου, ἵν’ ᾖ, περὶ αὐτοῦ τούτου· ἐκ παραλλήλου τὸ αὐτοῦ.

sch plut 468 Junt. τὸ πρῶτον: Κατά. P. αὐτοῦ: Τοπικὸν, ἢ μᾶλλον χρονικόν. C. ἐνταῦθα, ἢ τὸ τούτου καὶ τὸ αὐτοῦ ἐκ παραλλήλου. Θ. E. ἀποφήνω: Ἀποδείξω. Θ. P. (οὖσαν αἰτίαν ἐμὲ: Ἰστέον, ὅτι ἡ Ἀττικὴ ἔλλειψις ἤτοι ἐν ἀρχῇ γίνεται, ὡς τὸ, ὅπως μὴ ποιήσῃς τόδε, νοουμένου ἔξωθεν τοῦ σκόπει· ἢ ἐν τῷ τέλει, ὡς ἔχει τὸ ἐν Νεφέλαις [267] τὸ δὲ μὴ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον’ ἔχοντα · κἀκεῖ γὰρ νοεῖται ἔξωθεν τὸ οὐ σκαιόν; ἢ ἐν τῇ μέσῃ, ὡς τὸ παρ’ Ὁμήρῳ [Il.

sch plut 469 A, 135] ἀλλ’ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί; λείπει γὰρ τὸ παύσομαι, ἢ ἡσυχάσω. καὶ Θουκυδίδῃ καταρχὰς τοῦ τρίτου τῆς συγγραφῆς [c. 3] «καὶ εἰ μὲν «συμβῇ ἡ πεῖρα· εἰ δὲ μὴ, Μιτυληναίοις εἰπεῖν ναῦς «τε παραδοῦναι καὶ τείχη καθελεῖν.» τὸ δὲ σχῆμα καλεῖται ἀνανταπόδοτον, ᾧ καὶ νῦν Ἀριστοφάνης ἐχρήσατο· οὐ γὰρ ἀποδέδωκε τὴν σύνταξιν ἐνταῦθα· ἔδει γὰρ εἰπεῖν, κἂν μὲν ἀποφήνω μόνην ἐμὲ ἀγαθῶν οὖσαν αἰτίαν, ἐάσατε· εἰ δὲ μὴ, ποιεῖτον ὅ τι ἂν ὑμῖν δοκῇ.) —οὖσαν αἰτίαν: Ὑπάρχουσαν πρόξενον ... πρότερον. Paris. ὑμῖν δι’ ἐμέ τε ζῶντας: Λείπει καταγνώσεσθε ἑαυτῶν· καὶ ἐάσατε παρ’ ὑμῖν.

sch plut 470 ὅμοιον δὲ τὸ σχῆμα τῷ Ὁμηρικῷ «ἀλλ’ εἰ μὲν δώσουσι γέρας· εἰ δέ κε μὴ «δώωσιν» R. προσυπακουστέον τὸ παύσασθε τῆς ἐπιχειρήσεως. Dv. D. ἐάσατε δηλονότι— C. ὑμῖν: Καὶ ἀποδείξω. ὑμᾶς: Παύσασθε τοῦ ἐγχειρήματος. εἰ δὲ μὴ: Ἀποφήνω, εἰ δὲ ἀδυνατήσω ἀποδεῖξαι τοῦτο ὑμῖν. P. τουτὶ: Τὸ εἶναί σε αἰτίαν πάντων τῶν ἀγαθῶν, ἢ ὅτι ἡμεῖς διὰ σὲ ζῶμεν.

sch plut 472 P. διδάσκου: Μάνθανε τοῦτο ἐξ ἐμοῦ.

sch plut 473 Θ. P. ἁμαρτ.

sch plut 474 : Ἔξω τῆς ἀληθείας λέγοντας. P. ἁμαρτάνω σημαίνει δύο. ἁμαρτάνω λέγεται τὸ ἁμαρτίαν ποιῶ· ἁμαρτάνω λέγεται καὶ τὸ ἐκπίπτω. P. εἰ: Ἐπεὶ τοὺς ἀγαθοὺς λέγεις κτλ.

sch plut 475 P. ὦ τύμπανα: ⟦ Τοῦτό φησιν, ὡς τῆς Πενίας τῶν τοιούτων ἀξίας οὔσης.

sch plut 476 ⟧ (τύμπανα, ξύλα, ἐφ’ οἷς ἐτυμπάνιζον· ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ· ἢ βάκλα, παρὰ τὸ τύπτειν· ἤγουν ξύλα, οἷς τύπτονται ἐν τοῖς δικαστηρίοις οἱ τιμωρούμενοι.) κύφων δὲ δεσμός ἐστι ξύλινος, ὃν οἱ μὲν κλοιὸν, οἱ δὲ καλιὸν ὀνομάζουσιν· ἔνθεν καὶ ὁ πονηρὸς ἄνθρωπος κύφων. τάσσεται δὲ κἀπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων, καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. Ἀρχίλοχος δὲ ἀντὶ τοῦ κακὸς καὶ ὀλέθριος. εἴρηται δὲ κύφων παρὰ τὸ ἀναγκάζειν τοὺς δεσμίους κύφειν, (διπλῶς ἅμα κολαζομένους, τῇ τε τοῦ τραχήλου πιέσει καὶ τῷ μηδαμῶς ἀνανεύειν δύνασθαι). Ἄλλως. ξύλα εἰσὶν ἐπιτιθέμενα εἰς τοὺς τένοντας τῶν καταδίκων, ἵνα μὴ εὕρωσιν ἀνακύψαι· (καὶ γὰρ τὸν κρινόμενον ποιοῦσι κύφειν.) —ταὐτὸν εἰπεῖν ἀντὶ τοῦ ὄργανα τιμωρητικά. βοηθήσετε. P. ἀρήξατε: Βοηθήσατε. Dv. κολαστήρια ὄργανα ἀμφότερα τὰ τύμπανα καὶ οἱ κύφωνες· τοῦτο δὲ λέγει, ὅτι τούτων ἀξία ἡ Πενία. Dv. κολαστήρια ὄργανα τά τε τύμπανα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ οἱ κύφωνες. τοῦτο δὲ λέγει δεικνὺς, ὅτι τῶν τοιούτων ἀξία αὐτή ἐστιν. τὰ δὲ τύμπανα, ὡς μέν τινες φασὶν, ξύλα, δι’ ὧν τοὺς καταδίκους ἔτυπτον. κύφων δέ ἐστι ξύλον ὅμοιον ζυγῷ, ὃν τιθέασιν κατὰ τῶν τραχήλων τῶν δικαζομένων, κύπτειν αὐτοὺς παρασκευάζων, ἵνα διπλῶς αὐτοὺς κολάζῃ, καὶ μὴ ἐῶν αὐτοὺς ἀνανεύειν οὐδ’ ὅλως. Ρ. οὐ πρέπει δεινοπαθεῖν καὶ κραυγάζειν, πρὶν ἂν γνωρίσῃς.

sch plut 477 Ρ. βοᾷν: Κράζειν.

sch plut 478 ἰοὺ, ἰοὺ: Ἐπίρρημα θρηνητικόν. Ρ. τί δῆτά σοι τίμημα: Ἐπέβαλλον γὰρ ἐνίοτε ζημίαν τοῖς ἁλοῦσιν ἢ χρήματα καταθέσθαι, ἤ τι τοιοῦτον.

sch plut 480 (τῇ δίκῃ δὲ, τῇ τιμωρίᾳ.) —τίμημ’: Εἶδος τιμωρίας. Θ. Dv. Ρ. τίμημ’ ἐπιγράψω: Πρόστιμα ἐπιθῶ τῇ κρίσει. Ρ. τῇ δίκῃ: Τῇ ὀφειλομένῃ σοὶ τιμωρίᾳ. Θ. Dv. ⟦ τῇ δίκῃ: Ἤγουν τῇ κρίσει ἢ τῇ ὀφειλομένῃ σοι τιμωρίᾳ· ἤγουν, ἐπειδὴ ὀφειλόμενόν ἐστι δίκην δοῦναί σε, ἐὰν ἡττηθῇς, τίνα κόλασιν ὑπόσχῃς. ἔθος δὲ ἦν πάλαι τοῖς δικαζομένοις γράφειν πρὸ τῆς κρίσεως, ὡς τιμωρίαν ἡττηθεὶς δοίη, εἶτα δὲ ἐπιγράφειν, τουτέστιν, ἐπὶ τῇ προτέρᾳ γραφῇ καὶ τοῦτο γράφειν, ὡς καὶ τοιάνδε τιμωρίαν, ἢ βίου τυχὸν ἀφαίρεσιν, ἢ κεφαλῆς. Junt. ⟧ ἁλῷς: Κρατηθῇς.

sch plut 481 Dv. τὸ γὰρ αὐτὸ, ἐὰν ἡττᾶσθε: (Ἀντὶ τοῦ, τὴν αὐτὴν ζημίαν·) τοῦτο δὲ θέλει εἰπεῖν, ὅτι ὅπερ ὁρίσητε πρόστιμον, ἐὰν ἡττηθῶ, τοῦτο ὁριστέον ὑμῶν ἡττημένων.

sch plut 482 Ἄλλως. τιμωρίαν· εἴθιστο γὰρ τὸ τῆς ἥττης ἤδη καὶ πρόστιμον ὁριζόμενον ὑπὸ τῶν κρινομένων. —τὸ γὰρ αὐτὸ: Τίμημα. ἡττᾶσθε: Νικᾶσθε. σφῷ: Ὑμᾶς. Ρ. ἱκανοὺς νομίζεις: Ἀντὶ τοῦ ἀρκοῦντας· (ὁ γὰρ ἱκάνων, ὅ ἐστι παραγινόμενος, ἤρκεσε πρὸς τὴν ὁδόν.

sch plut 483 ) —ἱκανοὺς: Ἀρκετούς. Dv. νομίζεις: Ὦ Χρεμύλε. Dv. Ρ. ἀποχρήσουσι: Ἀπόχρη ἐπὶ ἐνεστῶτος ἀντὶ τοῦ ἀρκετόν ἐστι, καὶ ἀποχρῶσα δίκη ἐπὶ θηλυκοῦ, ἀντὶ τοῦ ἀρκετὴ ὑπάρχει, καὶ ἐπὶ μέλλοντος ἀποχρήσει, ἀντὶ τοῦ ἀρκετὸν γενήσεται.

sch plut 484 Junt. ταύτῃ γε: Ἤγ. τῇ Πενίᾳ νομίζ. ἱκανοὺς θαν. εἴκοσι. Ρ. νῷϊν: Ἡμῖν· συνίζησις. Dv. ἀποχρήσουσι: Ἀρκέσουσι. Θ. Dv. ἀρκετοὶ γενήσονται. Ρ. τοῦτο πράττοντες: Ἀντὶ τοῦ ἀποθανόντες.

sch plut 485 οὐκ ἂν, φησὶν, ἀναβάλοισθε ἀποθανόντες· (ἀντὶ τοῦ ταχέως ἀπελθόντες τελευτήσατε. εἰ γὰρ νικήσετε, οὐκέτι δίκαιόν ἐστιν. Ἄλλως. οὐκ ἂν μὲ, φησὶ, νικήσετε· ἐὰν δέ γε νικήσητε, οὐχ ὑπάρχει δίκαιον.) —οὐκ ἂν φθ.: Ἀντὶ τοῦ ταχέως τοῦτο πάθοιτε. Ρ. τοῦτο διπλοῦν. ἢ ταχέως πείσεσθε τοῦτο, ἡττηθέντες· ἢ ταχέως ποιήσετε τοῦτο πρός με ἡττηθεῖσαν. πράττω γὰρ καὶ τὸ ποιῶ καὶ τὸ πάσχω. Dv., Br. ἀντειπεῖν: Ἐναντιωθῆναι, ἡνίκα ἡττηθῇ.

sch plut 486 Ρ. ἀλλ’ ἤδη χρῆν τι λέγειν: (Κομμάτιόν ἐστι δύο στίχων ἢ τριῶν· οὐδέποτε δὲ ὑπερβάλλει τὸν τέταρτον.

sch plut 487 τὸ δὲ ἑξῆς, χρὴ λέγειν ὑμᾶς ἀντιλέγοντας.) —Ἄλλως. παράβασις· ὁ γὰρ ποιητὴς δοκεῖ τὸ σκέμμα γυμνάζειν. V. τὸ (δὲ) μέτρον ἀναπαιστικὸν τετράμετρον (καταληκτικὸν εἰς συλλαβήν). δέχεται δὲ ἀνάπαιστον, σπονδεῖον καὶ δάκτυλον ⟦ παρὰ τοῖς δραματοποιοῖς· σπανίως δὲ καὶ προκελευσματικόν. Ἄλλως. ἀλλ’ ἤδη χρῆν τι λέγειν: Εἴσθεσις διπλῆς ἀμοιβαίας ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν, ὧν τελευταῖος τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν, πρὶν καταθεῖναι. καλεῖται δὲ τοῦτο τὸ μέτρον Ἀριστοφάνειον διὰ τὸ κατακόρως αὐτὸν τούτῳ χρήσασθαι, οὐ μὴν εὑρηκέναι πρῶτον· ἐπεὶ καὶ παρὰ Κρατίνῳ καὶ πρὸ τούτου παρ’ Ἐπιχάρμῳ καὶ Ἀριστοξένῳ τῷ Σελινουντίῳ Ἐπιχάρμου πρεσβυτέρῳ, ὡς Ἡφαιστίων φησὶ, τούτῳ τινὰ τῷ μέτρῳ μνημονεύεται γεγραμμένα. ἐπὶ ταῖς ἀποθέσεσι τῶν συστημάτων παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων διπλῆ ἔξω νενευκυῖα. ⟧ —ᾧ: Δι’ οὗ. Ρ. μαλακὸν δ’

ἐνδώσετε μηδέν: Ἡρόδοτος ἐν Θαλείᾳ [3,105] «τὰς δὲ θηλέας ἀναμιμνησκομένας ὧν ἔλιπον τέκνων ἐνδιδόναι μαλακὸν οὐδέν.

sch plut 488 » Junt. τοῖσι: Ἡμετέροις. ἀντιλέγοντες: Ἐναντιούμενοι. μαλακὸν: Χαῦνον. ἐνδώσετε: Ὑποχαλάσατε. Θ. Ρ. ὑποχαλάσετε. Dv. ἀντὶ τοῦ μὴ μαλακισθῆτε τῇ Πενίᾳ. Θ. φανερὸν: Ἐγνωσμένον.

sch plut 489 Ρ. ὁμοίως: Ἐπίσως. Vict. εὖ πράττειν: Εὐτυχεῖν.

sch plut 490 Ρ. εὐτυχεῖν ἐστι τοὺς δικαίους· δυστυχοῦσι δέ. V. πονηροὺς: Κακοὺς καὶ ἀσεβεῖς.

sch plut 491 τούτων: Τῶν χρηστῶν. δήπου: Ἐστὶ δίκαιον πράττειν, ἤγουν δυσπραγεῖν. Ρ. περὶ σχολῆς καὶ ἀργίας· ὥστε ἡ σχολὴ μόχθου δηλωτική. V. τοῦτ’ οὖν: Τὸ πλουτεῖν μὲν τοὺς χρηστοὺς, δυστυχεῖν δὲ τοὺς κακούς.

sch plut 492 Ρ. ἐπιθυμοῦντες: Ποιῆσαι δηλονότι. Vict. βούλημα καλὸν: Βούλευμα μὲν τὸ ἴδιον, βούλημα δὲ τοῦ δημοσίου ἡ γνώμη.

sch plut 493 ⟦ καίτοι ἐν τοῖς παλαιοῖς τῶν Σοφοκλείων [Aj. 44] ἀντιγράφων ἦ καὶ τὸ βούλημ’ ὡς ἐπ’ Ἀργείοις τόδ’ ἦν, εὕρηται, οὐχὶ βούλευμα. ἐν δὲ τῷ ὥστε γενέσθαι παραπληρωματικὸν κεῖται τὸ τε, ὡς καὶ ἐν τῷ οἷόν τε. τὸ δὲ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ, δηλοῖ ἐκ παραλλήλου ταὐτὸν σημαίνειν. τὸ δὲ βαδιεῖται, καὶ φευξεῖται, οὐ μόνον Αἰολικὰ, εἴτε Δωρικὰ, ἀλλ’ ἤδη καὶ Ἀττικά. τὸ δὲ δήπου βεβαιωτικόν. τὸ δὲ τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, δὶς ἐνταῦθα εἴρηται διὰ τὸ καίριον· κεῖται δὲ καὶ μετ’ ὀλίγα. τὸ δὲ τούτων, εἰ μὲν ἀρσενικὸν, τῶν χρηστῶν ἀνθρώπων· εἰ δὲ οὐδέτερον, ὧν εὖ πάσχουσιν οἱ χρηστοί. τοὺς δὲ τὰ θεῖα σέβοντας, ὡς ἐναντίους τοῖς ἀθέοις ἔθετο· ἐνταῦθα δὲ ὅρα τὸ σέβοντας, νῦν μὲν λεχθὲν ἐνεργητικῶς, παρὰ δὲ τοῖς ὕστερον τὰ πλείω παθητικῶς· τὸ δὲ πάντας χρηστοὺς, ὅτι οἱ πονηροὶ τοὺς ἀγαθοὺς ἰδόντες διὰ τοῦτο εὖ πράττοντας, ἐθελήσουσι τὸν πρότερον ἀφέντες βίον μεταπεσεῖν ἐπὶ τὰ ἀμείνω, ἵνα δι’ αὐτὸ τοῦτο εὖ πράττωσιν. τὸ δὲ καί τοι τούτου τίς ἂν ἐξεύροι ποτ’ ἄμεινον, ἐπικριτικόν ἐστι σχῆμα δι’ ἐρωτήσεως ἀναντιρρήτως βεβαιούμενον, ἐν ᾗ τὸ τίς ταὐτόν ἐστι τῷ οὐδεὶς, ὡς καὶ ἐν ἄλλοις μυριαχοῦ φαίνεται. τὸ δὲ ἀνερώτα ἢ περιττὴν ἔχει τὴν πρόθεσιν, ἢ δηλωτικόν ἐστι τοῦ πολλάκις ἐρωτᾶν. ἐνταῦθα δὲ σημαίνει ὅτι ἔθος τοῖς ποιηταῖς ἐν ταῖς ἐρωτήσεσι, καθ’ ἃς οἴεταί τις ἀντιλογίαν εὑρεῖν ποθεν, παράγειν πρόσωπον φιλικὸν ἀποκρινόμενον τὸ ἀρέσκον τῷ ἐρωτῶντι· ὡς καὶ ἐνταῦθα ὁ Βλεψίδημος ποιεῖ· δεδιὼς γὰρ μή ποτε ἡ Πενία πρὸς τὴν τοῦ Χρεμύλου ἀπαντήσῃ ἐρώτησιν, ἀποκρίνεται αὐτὸν τὸ δοκοῦν τῷ Χρεμύλῳ. ἐν δὲ τῷ κακοδαιμονίαν τ’ ἔτι μᾶλλον, δοκεῖ χεῖρον μανίας ἡ κακοδαιμονία εἶναι. ἴσως δὲ καὶ ἐπιδιορθωτικῶς αὐτὸ εἴρηται, ὡς τῶν κατὰ βίον ἀταξιῶν μανίᾳ μὲν οὐκ ἂν ἐοικυιῶν, δυσδαιμονίᾳ δὲ μάλιστα. ⟧ βούλευμα: Σκέμμα. χρήσιμον: Ἐπωφελὲς εἰς πᾶσαν πρᾶξιν. Ρ. νυνὶ βλέψῃ .

sch plut 494 .. περινοστῇ: Ἐκ παραλλήλου περιφέρηται ἄνω καὶ κάτω. Dv. Vict. πλανᾶται. Ρ. ὡς: Εἰς.

sch plut 495 βαδιεῖται: Βαδίσει. ἀπολείψει: Ἐάσει. Ρ. πονηροὺς: Κακοτρόπους καὶ ἀσεβεῖς φυγεῖ.

sch plut 496 Ρ. σέβοντας: Τιμῶντας.

sch plut 497 Ρ. τούτου: τοῦ πάντας ἀγαθοὺς ποιῆσαι.

sch plut 498 R. V. ἐξεύροι: Ἐπινοήσαιτο. Ρ. οὔτις: Οὐδεὶς ἐπινοήσει δηλ.

sch plut 499 ταύτην: Τὴν Πενίαν δηλ. Ρ. ὡς: Καθά.

sch plut 500 ἡμῖν: Ἐν ἡμῖν. Ρ. μανίαν: Διὰ τὸ ἀτάκτως φέρεσθαι.

sch plut 501 Θ. Dv. πλουτοῦσι: Χρήματα ἔχουσι.

sch plut 502 Ρ. ἀντὶ τοῦ ἐν πλεονεξίας αὐτὰ εἰληφότες καὶ κτησάμενοι.

sch plut 503

Eulogikon public reading copy · View original HTML at eulogikon.org

V. αὐτὰ ξυλλεξάμενοι: Ἃ ἔχουσι συναγαγόντες. Θ. Dv. αὐτά: Ἃ ἔχουσι. P. πράττουσι κακῶς: Πάσχουσι, δυστυχοῦσι.

sch plut 504 Dv. δυστυχοῦσιν. τὰ πλεῖστα σύνεισιν: Περισσότερα ὑπάρχουσιν. P. συνέρχονται. R. V. οὐκοῦν εἶναί φημι: ⟦ Ὁ νοῦς, οὐκοῦν εἰ παύσει ταῦτα ὁ Πλοῦτος, ἤν ποτε βλέψῃ, φημὶ εἶναι ὁδὸν, ἥντιν’ ἰὼν τοῖς ἀνθρώποις ἀγαθὰ ἂν μείζω πορίσειε.

sch plut 505 ⟧ (κακόμετρος οὗτος ὁ στίχος· ἐν ἐνίοις δὲ καὶ ἄμετρος. ὁ δὲ νοῦς δῆλος·) οὐκοῦν εἶναί φημι ὁδὸν ἑτέραν, ἣν βαδίσας τις ἀγαθόν τι μεῖζον τοὺς ἀνθρώπους ἐργάσεται. λέγει δὲ ὅτι δεῖ τὸν Πλοῦτον ἀναβλέψαι ποιῆσαι. ἐὰν δέ τις προσθῇ τὸν καί, ἵσταται ἡ φράσις· οὐκοῦν ἢν βλέψῃ ποτὲ ὁ Πλοῦτος, φημὶ εἶναι ὁδὸν, ἥντινα ἰὼν παύσει ταῦτα καὶ τοῖς ἀνθρώποις ἀγαθὰ ἂν μείζω πορίσειεν. Ἄλλως. τὸ οὐκοῦν ἀποφαντικόν ἐστιν ὅτι ἐὰν βλέψῃ ὁ Πλοῦτος καὶ παύσῃ τὴν Πενίαν, οὐκέτι κακοδαιμονία εἴη. τὸ δὲ ἑξῆς, οὐκοῦν εἶναί φημι ὁδὸν, ἥντινα ἰὼν ὁ Πλοῦτος βλέψει ταύτην, καὶ τὰ ἀγαθὰ μείζω πορίσειε τοῖς ἀνθρώποις. ⟦ Ἄλλως. οἱ γράφοντες φημί, δίχα τοῦ ἄρθρου τοῦ ἥ, στοχάζεσθαι τῶν μέτρων δοκοῦσιν οὐ μάλα ἀκριβῶς· τὸ γὰρ ἑξῆς οὕτως ἔχει, οὐκοῦν εἶναί φημι ὁδὸν, ἥτις παύσει ταῦτα, ἣν βαδίσας τις ἀγαθὸν τοῖς ἀνθρώποις πορίσειεν. ἡ δέ ἐστιν, ἢν βλέψῃ πόθ’ ὁ Πλοῦτος. οἱ πολλοὶ δὲ λαμβάνουσιν ἔξωθεν γάρ, πρὸς τὸ φημί· οὐκοῦν παύσει ταῦτά ποτε ὁ Πλοῦτος, ἣν βλέψῃ· φημὶ γὰρ εἶναι ὁδὸν, ἥντινα ἰὼν πορίσειε τοῖς ἀνθρώποις μείζω ἀγαθά. ⟧ ὁδὸν ἥντιν’ ἰὼν: Μέθοδον ἥντιν’ ἐλθὼν Πλοῦτος.

sch plut 506 C. μέθοδον. ἰὼν: Ὁ Πλοῦτος. P. πορίσειεν: Δώσοι. Borg. παράσχοι. P. ῥᾷστ’: Εὐχερῶς.

sch plut 507 ἀναπεισθέντ’: Οἱ καταπεισθέντες τὰς φρένας. P. ξυνθιασῶτα: συγχορευταί· θίασος γὰρ ὁ χορός.

sch plut 508 V. συγχορευταὶ καὶ κοινωνοί. Θ. Dv. πάλιν δῆλον ὅτι οὐκ οἶδεν ἡ Πενία τὴν Χρεμύλου γνώμην καὶ τὴν τοῦ Πλούτου ὅτι πρὸς μόνους τοὺς δικαίους ἥξει.

sch plut 509 —λυσιτελεῖν: Οὐδαμῶς λέγω χρησιμεύειν καὶ ὠφελεῖν ὑμῖν. P. διανείμειε: Διαμερίσειε πᾶσιν ἐπίσης.

sch plut 510 Θ. P. σοφίαν μελετῴη: Σοφίαν ἐνταῦθα καλεῖ τὴν περὶ τὰς τέχνας πανουργίαν καὶ μηχανὴν, τέχνην δὲ τὴν μεταχείρησιν αὐτὴν καὶ ἐνέργειαν.

sch plut 511 Junt., Dv., Vict. σοφίαν: Μάθημα. P. ἀμφοῖν: Τῆς σοφίας καὶ τῆς τέχνης.

sch plut 512 τὸ δὲ ἑξῆς, τίς ἐθελήσει. R. V. χαλκεύειν .

sch plut 513 .. ναυπηγεῖν: Χαλκεὺς, ναυπηγὸς εἶναι. τροχοποιεῖν: Τροχοὺς ποιεῖν ἁμάξης. P. ἁμάξας ποιεῖν καὶ τροχούς. V. σκυτοτομεῖν τὸ δέρμα, ἤγουν ὑποδήματα κατασκευάζειν.

sch plut 514 V. σκυτοτομεῖν ... πλινθουργεῖν: Σκυτοτόμος εἶναι, πλίνθους ποιεῖν. P. Δηοῦς θερίσασθαι: [Ἀντὶ τοῦ γεωργίας ἐπιμελεῖσθαι.

sch plut 515 ] ἤδη τὸ ἔπος τοῦτο τῆς μέσης κωμῳδίας ὄζει. (καρπὸν οὖν Δηοῦς τὸν σῖτον λέγει.) —ἀρότροις ῥήξας: Δι’ ἀρότρου σχίσας, τεμὼν τὴν ἐπιφάνειαν τῆς γῆς. Θ. Dv. P. δάπεδον: Τὸ ἔδαφος. Dv. Δηοῦς: Τῆς γῆς. P. Vict. ἐξῇ ζῆν ἀργοῖς: Πρὸς τὸ ἀνώτερον· τίς ἐθελήσει τέχνην μετελθεῖν, ἐὰν ἔξεστιν ὑμῖν ἀργοῖς ζῆν τούτων ἀμελοῦσιν.

sch plut 516 ⟦ Ἄλλως. τὸ ἐξῇ ζῆν πρὸς τὸ, ἐθελήσει τίς, ἔχει τὴν δύναμιν. διότι δὲ μετὰ ταῦτα μὲν τίθεται, τὴν δὲ τῶν τεχνῶν ἀπαρίθμησιν προέταξε, διὰ τοῦτο εἶπε τὸ τούτων. οἱ δὲ ἀπ’ ἄλλης ἀρχῆς τὸ, ἢν ἐξῆν, λέγοντες, καὶ σκοπεῖτε ἔξωθεν λαμβάνοντες οὐκ ὀρθῶς οἴονται. ⟧ —ἐξῇ: Ἄδεια ὑπάρχει. πάντων: Ὧν ἔφην. P. λῆρον ληρεῖς: Ἀντὶ τοῦ κατὰ λῆρον.

sch plut 517 —φλυαρίαν φωνεῖς. V. Ἀττικὴ δὲ ἡ φράσις. (καὶ τὸ σχῆμα, ὡς τὸ μανίαν μαίνῃ,) ⟦ καὶ ὅλως ἐφ’ ὧν τῷ πράγματι ἐπάγεται τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ, ὕβριν ὑβρίζεις, καὶ φυγὴν φεύγεις. ⟧ —λῆρον ληρεῖς: Φλυαρεῖς. P. Ἀττικὴ παρήχησις. κατέλεξας: Ἀπηρίθμησας. Θ. Dv. μοχθήσουσιν: Οἱ δοῦλοι μετὰ μόχθου ἐργάσονται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 518 ἕξεις: Κτήσει δούλους. P. λούβεις. Dv. ἀργυρίου: Διά.

sch plut 519 P. κέρδος κυρίως τὸ εἰς χεῖρας διδόμενον ἀργύριον κέρδος τι ὄν.

sch plut 520 R. V. ἔμπορος ἥκων: Ἔμπορος ὁ πραγματευτικὸς ἄνθρωπος· κυρίως δὲ ὁ πλέων θάλασσαν, παρὰ τὸ πόρος· πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται· καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον, ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.

sch plut 521 διαβάλλονται δὲ οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ (καὶ αἰσχροκερδεῖς) καὶ ἄπιστοι· ἀεὶ γὰρ τὰ Θετταλῶν ἄπιστα, ⟦ ἡ παροιμία φησίν ⟧ . καὶ Εὐριπίδης (ἐν Ἰνοῖ) πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί. δῆλον δὲ καὶ ἀπὸ Ἰάσονος, ὃς ἠνδραπόδισε τὴν Μήδειαν. ἀνδράποδον δὲ εἴρηται ὁ ποὺς ὁ ἐν ἀνδράσιν, ἀπὸ τοῦ ὑποκειμένου μέρους τῷ ὅλῳ· ὑπόκειται γὰρ τῷ δεσπότῃ ὁ οἰκέτης καθάπερ ὁ ποὺς τῷ ὅλῳ καὶ ἀνωτέρῳ σώματι. παρὰ πλείστων ἀνδραποδιστῶν: Καὶ αὐτὸς παρὰ ἀνδραποδιστῶν λαβών. εἴρηται δὲ ἀνδραποδιστὴς παρὰ τὸ ἄνδρας ἀποδίδοσθαι, τουτέστι πωλεῖν. —Ἄλλως. ἀνδραποδιστὴς οὐ μόνον ὁ τοὺς ἐλευθέρους δι' ἀπάτης ἀπάγων εἰς δουλείαν, ἀλλὰ καὶ ὁ τοὺς δούλους ἀπὸ τῶν δεσποτῶν ἀποσπῶν εἰς ἑαυτὸν ἐπὶ τῷ ἀπαγαγεῖν ἀλλαχοῦ καὶ διαπωλῆσαι. διεβάλλοντο γοῦν οἱ Θετταλοὶ ὡς οὐ μόνον τούτοις χαίροντες, ἀλλὰ καὶ λῃστείαις. ἀφ' ὧν οἱ ἔμποροι ἀνδράποδα ὠνούμενοι εἰς ἑτέρας ἐπώλουν ἠπείρους, ἀφ' ὧν καὶ ἀνδραποδισταὶ ἐκαλοῦντο. Θ. Junt. εἰπὼν ἐκ Θετταλίας, ἐπήγαγε, παρὰ πλείστων ἀνδραποδιστῶν. δεικνὺς ὅτι τὸ τῶν Θετταλῶν γένος λῃστείαις ἐχρῆτο καὶ ἀνδραποδισμοῖς· ἀφ' ὧν οἱ ἔμποροι ἀνδράποδα ὠνούμενοι εἰς τὰς ἑτέρας ἐπώλουν ἠπείρους. C. ἔμπορος: Κατὰ θάλατταν πραγματευόμενος. παρὰ πλείστων: Ὠνήσεται δηλ. P. ἀνδραποδιστῶν: Λῃστῶν, τῶν τοὺς ἀνθρώπους δεσμούντων. Θ. Dv. P. πρῶτον: Προηγουμένως.

sch plut 523 Θ. P. κινδυνεύων περὶ τῆς ψυχῆς: Οἱ γὰρ λῃστεύοντες ἢ ἄλλους ἢ σφᾶς αὐτοὺς ἀπολλύουσιν, ὅταν ἐλάττους τῶν λῃστευομένων ὦσιν.

sch plut 524 Θ. ψυχὴ ἡ λογική, καὶ ἡ ἐν τοῖς ἀλόγοις ζώοις. ψυχὴ καὶ ἡ φύσις, ὡς παρ' Εὐριπίδῃ [Sophocl] «ὅστις τῆς ἐμῆς ψυχῆς γεγώς.» ἤγουν τῆς ἐμῆς φύσεως. ψυχὴ καὶ ἡ ἐν τοῖς φυτοῖς, καὶ ἁπλῶς ἡ ζωή. Junt. κινδυνεύων: Κίνδυνον ὑφιστάμενος. τοῦτο ποιῆσαι: Ἐξανδραποδίζειν. P. τὸ λῃστεῦσαι. Dv. ὥστ'.

sch plut 525 Καὶ σὺ ... ἀροτριᾷν. P. ὀδυνηρότερον, μοχθηρότερον, πολὺ βίον τοῦ νῦν διάξεις ἢ διατρίψεις, διατελέσεις.

sch plut 526 V. διατελέσεις. R. διαβιβάσεις. Θ. τρίψεις βίοτον: Διαβιβάσεις ζωήν. τοῦ νῦν: Ἤγ. τοῦ πένητος. P. εἰς κεφαλήν σοι: Ἀποπόμπησις συμβόλου φευκτοῦ. V. εἴη τοῦτο ὃ λέγεις. Θ. ὃ λέγεις. Dv. ἐς κεφαλήν σου: Εἴθε ἐπάνω πες. P. τὸ ἐς κεφαλήν σου εἶπεν, ἐπειδὴ ἤκουσεν παρ' αὐτῆς, ὡς ὀδυνηρότερον μοχθήσει καὶ βιώσει. P. καταδαρθεῖν: ⟦ Κατακοιμηθῆναι· ⟧ κυρίως δὲ καταδαρθεῖν τὸ ἐν δέρμασι κοιμηθῆναι.

sch plut 527 —ἔτι: Πρὸς τοῖς εἰρημένοις. καταδαρθεῖν: Ὑπνῶσαι. P. ἤτοι τάπησι.

sch plut 528 οὕτως γὰρ Ἀττικοί. R. ἐν τάπησιν· οἱ γὰρ πένητες ἱστουργοῦσιν, ἵνα τραφῶσι. R. V. τάπησιν: Τάπητες λέγεται τὰ πεύκια· εἰσὶ δὲ τάπητες οἱ μὲν ἐξ ἑνὸς μέρους μαλλὸν ἔχοντες, ἀμφιτάπητες δὲ οἱ ἐξ ἀμφοτέρων· λέγεται δὲ καὶ θηλυκῶς δάπης, δάπιδες. Dv. τάπητες λέγονται τὰ ἐπεύχια. εἰσὶ δὲ τάπητες μὲν, οἱ ἐξ ἑν. μ. μαλλὸν ἔχοντες, ἀμφιτ. δὲ οἱ ἐξ ἀμφοτέρωθεν. καὶ θηλυκῶς δάπις, δάπιστος. εὕρηται δὲ καὶ τάπις, τάπιδος· καὶ δάπης, δάπητος· ἀλλ' οἱ Ἀττικοὶ τάπητες γράφουσιν. P. τάπητες λέγονται τὰ ἐπεύχια, εἰσὶ δὲ τάπητες μὲν οἱ ἐξ ἑνὸς μέρους μαλλὸν ἔχοντες, ἀμφιτάπητες οἱ ἐξ ἀμφοτέρων· εἴρηται δὲ καὶ τάπης, ητος, καὶ τάπις, τάπιδος, καὶ δάπις, δάπιδος, καὶ δάπης, δάπηδος· οἱ μὲν Ἀττικοὶ τάπης, τάπητος γράφουσιν. Vict. ὑφαίνειν: Ὑφαντὴς εἶναι. Paris. μύροισι μυρίσαι στακτοῖς: Τοῖς ὑγροῖς καὶ χρισίμοις, πρὸς ἀντιδιαστολὴν τῶν ξηρῶν.

sch plut 529 —μύροισιν στακτοῖς: Ἤγουν ῥοδοστάμασιν. Dv. ῥοδοστάγμασιν. Θ. Ρ. ἀγάγησθον: Ἐν τῷ οἴκῳ. Θ. Dv. ἀγάγετε ἐν τῷ οἴκῳ. Ρ. οὔθ' ἱματίων βαπτῶν: (Ἀλλοχρόων·) βαπτὰ γὰρ ἱμάτια φοροῦσιν οἱ νυμφίοι, πρὸς τὸ φαίνεσθαι τεκμήριον τῆς φθορᾶς.

sch plut 530 οὐκ ἔσται σοι οὖν, φησὶ, ποικίλα ἱμάτια ἐπὶ τῷ κοσμῆσαι τὴν νύμφην. —δαπάναις: Ἀναλώμασιν. Θ. Dv. ἐν ἀναλώμασιν. Ρ. κοσμῆσαι: Καλλωπίσαι. Θ. Dv. καλῦναι. Ρ. ποικιλομόρφων: Ἐγχρωμάτων. Dv. ἐχόντων μορφὰς ποικίλας. Ρ. διαφόροις χρώμασι πεποικιλμένων. Θ. καί τοι τί πλέον πλουτεῖν: Τίς χρεία ἐστὶ τοῦ πλουτεῖν, ὅτε ἀπορεῖ τις ὧν χρῄζει.

sch plut 531 —τί πλέον: Οὐδέν ἐστι τὸ πλέον. Ρ. εὔπορα: Εὐπόριστα.

sch plut 532 δεῖσθον: Χρείαν ἔχετε. Paris. τὸν χειροτέχνην: Ἐπὶ τ.

sch plut 533 χ., τὸν διὰ τῶν χειρῶν ἐργαζόμενον. Ρ. τὸν πτωχόν. Dv. βίον ἕξει: Ζωὴν λούβεις.

sch plut 534 Dv. ζωὴν λήψεται. Ρ. πλὴν φῴδων ἐκ βαλανείου: Φλυκταινῶν· ἐκ βαλανείου δὲ, διὰ τὸ τοὺς πένητας ἀποροῦντας ἐνδυμάτων διὰ τὸ ψύχος ἐν βαλανείοις καθεύδειν καὶ ἐκ θέρμης ⟦ ἢ ἀέρος αὐτοὺς ἐξιόντας παραχρῆμα προσβαλόντοσ ⟧ φλυκταίνας ποιεῖν.

sch plut 535 Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα, ἢ ἐκ ψύχους, ἢ τοὺς τύλους, καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρὸς, ⟦ ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο πασχόντων. τὸ δὲ πλὴν οὐκ ἐνταῦθα ἀντὶ τοῦ χωρίς, ἀλλ' ἀντὶ τοῦ εἰ μή, πρὸς τὸ κολοσυρτόν, ὅς ἐστιν ἦχος φρυγάνων συρομένων. ⟧ — οὐδὲν, ὧν λέγεις, παρέχοις τοῖς ἀνθρώποις. Dv. πλὴν: Εἰ μή. Ρ. φῴδων: Φούσκα. Dv. τὰς κοινῶς λεγομένας στιβιλίδας. Ρ. ἀναστρέφοντες οἱ πένητες ἐκ βαλανείου οἴκαδε, ἢ λουόμενοι, ἢ ἐν τῇ ἐκεῖ καμίνῳ διὰ τὸ ψύχος θερόμενοι, ἀέρος αὐτοῖς παραχρῆμα προσβαλόντος, φλυκταίνας ἀνθοῦσι τῷ σώματι, διὰ τὸ μὴ ἔχειν ἀρκοῦν ἐπικάλυμμα. Ρ. βαλανείου: Λουτροῦ. Ρ. ὅταν γὰρ πεινῶσιν οἱ παῖδες κράζουσιν.

sch plut 536 R. V. ὑποπεινώντων: Μετρίως πεινώντων. Vict. γραϊδίων: Ὅτι πεινῶσαι αἱ γραῖαι βοῶσιν ὡς τὰ παιδία. Θ. Vict. κολόσυρτός ἐστι κυρίως ὁ τῶν φρυγάνων ἦχος, ὃν ποιοῦσι συρόμενα. κᾶλα γάρ εἰσιν ἤτοι ξύλα συρόμενα. Ρ., Vict. σύναπτε τὸ ἀριθμὸν πρὸς τὸ οὐδὲ λέγω σοι.

sch plut 537 ἡ ψύλλα θηλυκῶς. Ρ. οὐδὲ λέγω (σοι) τὸ πλῆθος ὅσον. R. V. αἳ βομβοῦσαι: Ἰδίως τὰς ψύλλας ἀφώνους οὔσας βομβεῖν φησι· κωνώπων γὰρ [μᾶλλον] τοῦτο ἴδιον.

sch plut 538 (Ἄλλως. ἐντεῦθεν πλανηθέντες τινὲς θηλυκῶς εἰρῆσθαι ᾠήθησαν τὰς κώνωπας· ληροῦσι δέ· ἀρσενικῶς γὰρ λέγονται· οἱ δὲ Δωριεῖς ἀρσενικῶς λέγουσι τὸν ψύλλον. θηλυκῶς δέ τινες τὴν κώνωπα κατὰ τοὺς Ἀττικούς· ἠχοῦσαι, φησὶν, αἱ κώνωπες· καὶ γὰρ ἠχοῦσα περιίπταται. οὐκ ἔστι δὲ, ἀλλὰ πρὸς τὰς ψύλλας ἀποδέδωκεν.) ἰδίως δὲ εἶπε τὴν ψύλλαν βομβεῖν· οὐ γὰρ προϊᾶσι φωνήν. ⟦ κώνωπας δὲ λέγει τὰς ἐμπίδας. ⟧ —βομβοῦσαι: Βοῶσαι. Dv. ἠχοῦσαι. Ρ. κεφαλὴν: Ἀπὸ τοῦ καθολικωτέρου τὸ περὶ τὸ οὗς μέρος ἐδήλωσε. R. V. τοῦ πένητος. ἀνιῶσιν: Λυποῦσιν. Ρ. ἐπεγείρουσαι: Διανιστῶσιν καὶ λέγουσι, πεινάσεις, ἐὰν καθεύδῃ.

sch plut 539 Ρ. φράζουσαι: οὐ γὰρ αὐταὶ τουτό φασιν, ἀλλ' ὅτι οἱ πένητες τοῦτο λογίζονται. R. V. ἐπανίστω: Ἐγείρου. Ρ. τούτοις: Τοῖς εἰρημένοις.

sch plut 540 Ρ. ῥάκος: Διερρηγμένον χιτῶνα. Θ. Dv. Ρ. στιβάδα: Συναγωγήν.

sch plut 541 Θ. Dv. στρωμνήν. σχοίνων: Σπάρτων πεποιημένην. μεστὴν: Πεπληρωμένην, ἢ τοὺς κοιμωμένους ἀνιστᾷ. Ρ., Vict. Σοφοκλέους τὸ ἡμιστίχιον «ἐπειγομένων κερκίδος ὕμνοις, ἢ τοὺς εὕδοντας ἐγείρει.» στιβάδα δὲ σχοίνων χαμεύνην ἐκ βοτάνης σχοινίου. V. τοὺς κοιμωμένους δακνομένους ὑπὸ τῶν κόρεων. Θ. φορμὸν: Φορμός πᾶν πλεκτὸν, ἐνταῦθα δὲ τὸ ψιάθιον.

sch plut 542

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Junt. φορμὸν: Ψιάθιον. Θ. Dv. P. φορμὸς πᾶν πλέγμα, εἴτε ψιάθιον, εἴτε ἄλλο τι. P. τάπητος: Πειχίου. Θ. Dv. P. ἀντὶ μὲν ἄρτων: Διενήνοχεν ἄρτος καὶ μάζα, ὅτι ὁ μὲν ἄρτος πάλαι μέμακται, ἡ δὲ μάζα νῦν.

sch plut 543 — σιτεῖσθαι: Ἐσθίειν. P. ἰσχνῶν ῥαφανίδων: Ἀττικοὶ ῥαφανίδα φασὶν ἣν ἡμεῖς ῥάφανον· πάλιν δὲ ῥάφανον, ἣν ἡμεῖς κράμβην.

sch plut 544 εἴρηται δὲ ῥαφανὶς παρὰ τὸ ῥᾳδίως φαίνεσθαι. λόγος γὰρ ὡς σπειρομένη θᾶττον ἄνεισιν. — μαλάχης πτόρθους: Μολόχης κλάδους. Θ. Dv. P. μάζης: Ἄρτου. Θ. P. ἄρτου ξηροῦ. Dv. φύλλ’ ἰσχνῶν ῥαφανίδων: Λεπτῶν κράμβων. P. εὐτελῶν, λεπτῶν. Vict. εἶδος λαχάνου. V. ἀντὶ δὲ θράνους: Θράνος, ὑποπόδιον, (ὃ καὶ θρῆνυς ἴσως παρὰ τῷ ποιητῇ.

sch plut 545 καὶ νηὸς θράνος·) ἔνθεν καὶ θρανίτης. ⟦ ἐτυμολογεῖται δὲ παρὰ τὸ θορεῖν ἄνω, ἢ παρὰ τὸ θρῆσαι, ὅ ἐστι καθίσαι. τὸ δὲ στάμνου δοκεῖ ἀρσενικῶς εἰρῆσθαι, ὡς δηλοῖ τὸ κατεαγότος, οὗ τὸ θέμα ἄγω, τὸ κλῶ, παρακείμενος ἦχα, ὁ μέσος ἦγα, καὶ ἐν διαλύσει ἔαγα· ὅθεν μετοχὴ ὁ ἐαγὼς καὶ τὰ ἐξ αὐτοῦ. ὅρα δὲ ὅτι στάμνου κεφαλὴν λέγει μεταφορικῶς τὸ ἄνω πρὸς τῷ στόματι· οὕτω δὲ καὶ πιθάκνης πλευρὰ τὸ ταύτης πλάγιον. εἰ δὲ στάμνου κεφαλὴν λέγει, εἴη ἂν αὐτὸ σύμφωνον τῷ «πίθου κρήδεμνον» παρὰ τῷ ποιητῇ [Od. Γ, 392] . κεφαλῆς γὰρ φόρημα τὸ κρήδεμνον. ὅτι δὲ ἀπὸ τῆς στάμνου ἢ τοῦ στάμνου καὶ Ζεὺς λέγεται Στάμνιος δηλώσει που καὶ ὁ κωμικός [Ran. 22]. τινὰ δὲ τῶν ἀντιγράφων, ἀντὶ στάμνου κεραμίου γράφεται. ⟧ ἀντὶ δὲ μάκτρας: Ἡ σκάφη ὅπου μάττουσι τὰ ἄλευρα. R. V. σκάφης, ἐν ᾗ ζυμοῦνται τὰ ἄλευρα. Θ. ⟦ μάκτρα κατὰ τοὺς παλαιοὺς θυεία ἐπιμήκης, ἐν ᾗ μάττουσι τὰ ἄλευρα, ὅθεν καὶ γίνεται· παρὰ τὸ μάσσω γὰρ ἡ μάκτρα, ὅθεν καὶ μεμαγμένον προείρηται [ad. v. 305] , καὶ ἡ μάζα γίνεται. Πενίας δὲ πάντως δῶρον καὶ ἡ τοιαύτη μάκτρα ἡ ἐκ πιθάκνης, καὶ οὐδὲ αὐτῆς διόλου συνεχοῦς, ἀλλὰ διερρωγυίας τὴν πλευρὰν, ἐν ᾗ τὸ μάγμα γίνεται. ὑποκοριστικῶς δὲ λέγεται ἡ πιθάκνη, κατὰ τὸ πολίχνη. ὅρα δ’ ἐν τοῖς προεκτεθειμένοις καὶ σχῆμα κάλλους ἐπαναφορικὸν διὰ τῆς ἀντί προθέσεως· τοιοῦτον γὰρ τὸ ἀνθ’ ἱματίου, ἀντὶ τάπητος, ἀντὶ προσκεφαλαίου, ἀντὶ ἄρτου, ἀντὶ μάζης, ἀντὶ θράνους, ἀντὶ μάκτρας· ἔχει δέ τι καὶ ἐπιμονῆς τὸ τοιοῦτον σχῆμα. ἀστείως δὲ ὁ Χρεμύλος καὶ πρὸς τὴν κλίνην, ἣν ἡ Πενία εἶπε, καὶ τοὺς τάπητας, καὶ τὰ μύρα, καὶ τὰ νυμφικὰ ἱμάτια, τὴν ῥηθεῖσαν στιβάδα καὶ τὸν φορμὸν ἀντέθετο, καὶ τοὺς κακῶς ὀδωδότας κόρις, καὶ τὸ ῥάκος, προσθεὶς τὰ λοιπὰ ἐπέκεινα εἰς ἐπαύξησιν τῶν τῆς πενίας κακῶν. ⟧ —θράνους: Ἤτοι ὑποποδίου ἤγ. θρόνους. P. θρόνου. P. ὑποποδίου. Dv. C. στάμνου: Κεράμου. P. κατεαγότος: Τεθραυσμένου. Dv. συντεθλασμένου. P. κλασθέντος. ἄγω τὸ συντρίβω. ὁ μέλλων ἄξω, ὁ μέσος παρακείμενος ἦγα καὶ Ἀττικῶς ἔαγα· ῥήσσω, ὁ μέλλων ῥήξω, ὁ μέσος παρακείμενος ἔρρηγα, καὶ τροπῇ τοῦ η εἰς ω μέγα ἔρρωγα. Vict. μάκτρας: Σκάφης. Dv. P. πιθάκνης: ὑποκοριστικῶς ὡς πολίχνης.

sch plut 546 R. κεράμου ἢ πιθήκου κεκλασμένου. ὑποκοριστικῶς δὲ αὐτὸ εἶπεν ὥσπερ πολίχνη. V. ὑποκοριστικῶς· μικροῦ πίθου ἐσχισμένου. Dv. πίθου μικροῦ. Θ. P. ἐρρωγυῖαν: Τεθραυσμένην. Θ. συντετριμμένην. ἆρά γε: Συμπέρασμα εἰρωνικόν. Θ. P. ἀποφαίνω ς’ αἰτίαν: Ἀποδεικνύουσαι.

sch plut 547 Dv. ἀποδεικνύω πρόξενον. P. αἰτίαν: Πρόξενον· συνίζησις. Dv. ὑπεκρούσω: Ἐφθέγξω, [ἀνεκρούσω,] ἀπὸ μεταφορᾶς τῶν κρουόντων τὴν κιθάραν, (ἤ τινος ἄλλου τοιούτου ὀργάνου.

sch plut 548 διενήνοχε δὲ πτωχεία πενίας, ὅτι ἡ μὲν πενία μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα· ἡ δὲ πτωχεία παντελὴς τῆς κτήσεως ἔκπτωσις· καὶ ὁ μὲν πένης παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν, εἴρηται, καὶ ἐκ τούτου πορίζειν τὰ χρειώδη, ὁ δὲ πτωχὸς, παρὰ τὸ πτώσσειν πάντας.) —τὸν ἐμὸν βίον: Τὴν ἐμὴν διαγωγήν. ὑπεκρούσω: Ἐδήλωσας. P. αἰνιγματωδῶς ἀπήχησας. C. ὠνείδισας. P. οἵπερ καὶ Θρασυβούλῳ: Τὰ μὴ ὅμοιά φησιν αὐτοὺς ὁμοιοῦν, ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, (ἀνδρὶ φιλοπόλιδι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παντὸς κρείττονι λόγου, διά τε τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ τῶν πολεμίων νίκας καὶ διότι κατέλυσε τὴν τῶν λ′ τυραννίδα.

sch plut 550 εὔπορος γὰρ ὢν καὶ ἐξ αὐτῶν ἐκπεσὼν μετὰ ταῦτα Φυλὴν καταλαβὼν καθεῖλεν αὐτούς. Ἄλλως. μήποτε ὁ ἀξιωματικὸς καὶ αὐθάδης, ὡς Στράττις ἐν τῷ Κινησίᾳ. Διονύσιος δὲ ὁ μέν τις φαίνεται μαινόμενος, ὁ δὲ, ὡς ἔοικεν, ἰχθυοπώλης.) —Ἄλλως. ὁ μὲν ἀξιωματικὸς καὶ αὐθάδης, ὁ δὲ μαινόμενος καὶ, ὡς ἔοικεν, ἰχθυοπώλης. Πολύζηλος, ὁ μαινόμενος ἐκεινοσὶ Διονύσιος χρυσοῦν ἔχων χλίδωνα καὶ τρυφήματα ἐν τῷ μύρῳ παρ’ Ἀθηναίων μακαρίζεται. V. (μήποτε δὲ καὶ περὶ τὴν ὄψιν ἀποσκώπτει. —ἢ ὅτι ὁ μὲν Διονύσιος τύραννος, Θρασύβουλος δὲ δημοφιλής. V. μᾶλλον δὲ ἄν τις ὑπονοήσειεν ἕτερον Διονύσιον Θρασυβούλου τοῦ Κολλυτέως ἀδελφὸν ἔγγιστα συγγενείας εἶναι. καὶ ἐν τῇ Ἰλιάδι σαφέστερον οἶδεν ἢ κατὰ Δίδυμον. ὡς εἴ τις λέγοι Διονύσιον τὸν ἐξώλη τύραννον ἐοικέναι Θρασυβούλῳ τῷ Λύκου, ἀνδρὶ φιλοπόλιδι καὶ παντὸς κρείττονι λόγου, διότι κατέλυσε τὴν τῶν λ′ τυραννίδα. Ἄλλως. οἱ Λακεδαιμόνιοι κρατήσαντες τῶν Ἀθηναίων ἔταξαν λ′ τυράννους ἀπὸ τῆς πόλεως ἐν Ἀθήναις διατρίβειν. ὁ οὖν Θρασύβουλος ἐραστὴς ὢν τῆς δημοκρατίας κατέλαβε Φυλὴν τῆς Ἀττικῆς μετά τινων ἄλλων, μεθ’ ὧν κατέλυσε τοὺς λ′. Διονύσιος δὲ τύραννος ὠμὸς ἐν Σικελίᾳ. Ἄλλως. ὁ μὲν Διονύσιος ἐμμανής· ὁ δὲ Θρασύβουλος εὔνους. ἢ Διονύσιος τύραννος, ὁ δὲ Θρασύβουλος ἀτελὴς καὶ πένης, πλὴν θρασύς.) —Ἄλλως. ἡ Πενία φησὶν ἐν τῷ πρὸς τὸν Χρεμύλον, ὅτι τὰ μὴ ὅμοια ὅμοια λέγεις εἶναι, ὥσπερ ἂν εἰ τὸν Σικελίας τύραννον Διονύσιον ὅμοιον εἶναι τῷ Θρασυβούλῳ ἀνδρὶ χρηστῷ καὶ κοσμίῳ. Junt. ⟦ Διονύσιον: Ὁ μὲν Διονύσιος ἦν Σικελίας τύραννος· ὁ δὲ Θρασύβουλος ἀνὴρ χρηστὸς Ἀθηναῖος· ὁρῶν οὖν τὴν ἑαυτοῦ πόλιν ὑπὸ τῶν τριάκοντα τυράννων, οὓς ἔστησαν οἱ Λακεδαιμόνιοι, τυραννουμένην, φίλην μίαν καταλαβὼν τοὺς τυράννους λάθρα ἀπέκτεινεν· ᾔδετο οὖν παρὰ πάντων, ὡς Ἀθηναίων εὐεργέτης. Dv. ὑμεῖς: Φατὲ δηλ. Θρασυβούλῳ: Τῷ ἀγαθῷ δηλ. Διονύσιον: Τύραννον. P. ⟧ μέλλει: Πείσεσθαι.

sch plut 551 P. πρὸς τὴν διαφορὰν τῶν ὀνομάτων.

sch plut 552 V. φειδόμενον: Ἀκριβολογούμενον.

sch plut 553 Dv. P. προσέχοντα: Προσκείμενον. P. περιγίνεσθαι δ’ αὐτῷ: περιγίνεσθαι σημαίνει μὲν καὶ τὸ νικᾷν, σημαίνει δὲ καὶ τὸ περιττεύειν, ὡς ἐνταῦθα.

sch plut 554 Junt., Vict. περιγίγνεσθαι: περιλιμπάνεσθαι. R. V. περιττεύειν. Θ. Dv. περιττὸν γίγνεσθαι. ἐπιλείπειν: στερεῖσθαι. P. ὡς μακαρίτην, ὦ Δάματερ: Ὅτι ἁπλῶς καὶ ἀσυνήθως κατεχρήσατο ἀντὶ τοῦ μακάριον· εἰ μὴ ἄρα παίζει, οἷον νεκροῦ βίον.

sch plut 555 ⟦ Ἄλλως. ὥσπερ εἰώθασιν οἱ Ἕλληνες, ἐπειδάν τι παράδοξον ἀκούσωσι, σχετλιάζειν καὶ βοᾶν Ἡράκλεις, ἢ Ἄπολλον, ἢ ὦ Ζεῦ, οὕτω καὶ οὗτος ἀκούσας τῆς Πενίας τοιαῦτα λεγούσης ὥσπερ σχετλιάζων βοᾷ, ὦ Δάματερ· εἰκότως δὲ πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον, ὡς γεωργός. ⟧ — μακαρίτην: Μακαριστόν. Θ. Dv. εὐδαίμονα. P. τὸ μάκαρ ἐπὶ τῶν ἁγίων λέγεται μόνον. τὸ μακάριος καὶ μακαριστὸς ἐπὶ ζώντων καὶ ἀποθανόντων. μακαρίτης δὲ ἐπὶ τῶν ἀποθανόντων μόνον. P. ὦ Δάματερ: Τοῦτο διὰ μέσου. Θ. Dv. κατέλεξας: Κατηριθμήσω. P. μοχθήσας: Κοπιάσας.

sch plut 556 ταφῆναι: Ὥστε. P. σκώπτειν: Διασύρειν.

sch plut 557 P. εἰρωνεύεσθαι. Θ. Dv. κωμῳδεῖν: Ὑβρίζειν. Dv. ἐπὶ γέλωτος. P. σπουδάζειν: τῶν σπουδαίων. R. τοῦ λέγειν τὰ σπουδαῖα ἢ σπουδαιολογεῖσθαι. V. σπουδαίως λέγειν. P. σπ. λ., ἐπιστημόνως ἀποδεικνύναι ὅτι κρείττων ὁ πλοῦτος τῆς πενίας. Vict. γινώσκων: Ἐπιστάμενος.

sch plut 558 P. τῷ μὲν: τῷ Πλούτῳ δηλονότι.

sch plut 559 V. ποδαγρῶντες: ὅτι Ἑλληνικὸν τὸ ποδαγρᾶν. (τινὲς δὲ φεύγοντες αὐτὸ ποδαλγῶσι λέγουσι.) R. V. ποδαλγοῦντες: Τοιοῦτοι γὰρ οἱ πλούσιοι γίνονται ὑπὸ τῆς τρυφῆς, ὅπερ ἀσελγείας καὶ φαυλότητος βίου δηλωτικόν ἐστι. γράφεται δὲ καὶ ποδαλγοῦντες καὶ ποδαγρῶντες· ὅτι καὶ

αὐτὸ τὸ πάθος καὶ ποδάγρα λέγεται καὶ ποδαλγία. Junt. τὴν γνώμην: Τὴν φρόνησιν. Θ. Dv. τὴν ἰδέαν: Τὴν μορφήν. Θ. Dv., Br. κατὰ τὸ εἶδος. P. παρ' αὐτῷ: Τῷ Πλούτῳ. ποδαγρῶντες: Ποδαγροί. P. ὑπὸ ἀργίας μεγάλοι γίνονται καὶ παχεῖς τὰ σώματα.

sch plut 560 (ἀσελγῶς δὲ ἀντὶ τοῦ ἀτόπως διὰ τὴν ἀσέλγειαν.) R. V. ἀντὶ τοῦ καταφερεῖς. R. V. παχ. καὶ πίονες: Παχεῖς ταῖς σαρξὶν ἀσωφρόνως λιπαροί. ἀσελγῶς: Αἰσχρῶς. Θ. Dv. ἀντὶ τοῦ εἰπεῖν λίαν πίονες. C. λιπαροὶ ἀτόπως. D. σφηκώδεις: Λεπτοὶ κατὰ τὸ μέσον, ὡς σφῆκες· ἢ πικροί, ἐπεὶ καὶ τὸ ζῷον πικρόν ἐστι σφόδρα· ἅμα μὲν ὅτι καὶ δριμύτεροι, ἅμα δὲ ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες ὡς σφῆκες.

sch plut 561* Ἄλλως. σκληροί, ἢ λεπτοί, μάλιστα τὰ κάτω τῶν γαστέρων, διὰ τὸ γοργὸν καὶ εὐκίνητον· τοιοῦτοι γὰρ οἱ σφῆκες τὸ μέσον. τοῖς ἐχθροῖς ἀνιαροί: Ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος, ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιπαρατάξηται. τοιοῦτοι δὲ οἱ πένητες διὰ τὸ μὴ εὐσαρκεῖν ἀπορίᾳ τροφῶν. —ἰσχνοὶ καὶ σφ.: Λεπτοὶ τὰ σώματα ὥσπερ οἱ σφῆκες. ἀνιαροί: Λυπηροί. Dv. λύπην ἐπάγοντες τοῖς ἐχθροῖς. P. σφηκῶδες: Τὸ λεπτόν.

sch plut 562 P. ⟦ περὶ σωφροσύνης ἤδη: Καταλέξασα τὰ ἀγαθά, ἃ δι' αὐτὴν ἀνθρώποις γίνονται, νῦν βούλεται ἀποδεῖξαι ὅτι καὶ σωφροσύνης αἰτία ἐστίν, ὥσπερ ὁ Πλοῦτος αὖ τοὐναντίον.

sch plut 563 εἰκότως δὲ εἶπε τὸ ἀναδιδάξω· καὶ γὰρ ὅτε γαστρώδεις ἔλεγε τοὺς ἀνθρώπους ἐκ τοῦ πλούτου γίνεσθαι, καὶ ἀσελγεῖς ἔλεγεν· οἱ γὰρ πλεῖστα ἐσθίοντες καὶ πρὸς τοῦτο κατάφοροί εἰσιν. — συμπεραίνω τὸ συλλογίζομαι, ἀφ' οὗ καὶ συμπέρασμα παρὰ φιλοσόφοις, τὸ ἐκ τῶν προτάσεων συναγόμενον· τὸ γὰρ κύριον μέρος τοῦ συλλογισμοῦ οὐδέν ἐστιν ἕτερον ἄλλο ἢ τὸ συμπέρασμα. σύγκειται γὰρ ὁ συλλογισμὸς ἐκ δύο προτάσεων καὶ συμπεράσματος· καὶ ἔστι τὸ συμπέρασμα ἀπόδειξις τοῦ ζητουμένου ἀναντίρρητος. Junt. ἤδη τοίνυν περανῶ: Ἀπὸ τοῦ νῦν ἀποδείξω. Dv. συλλογίζομαι ὑμῖν. P. ⟧ κοσμιότης: Εὐταξία, καὶ σεμνότης.

sch plut 564 Θ. Dv. ὑβρίζειν: Αἰσχρὰ πράττειν Dv. τὸ ἀσελγαίνειν. P. πάνυ γοῦν: Ἐν εἰρωνείᾳ, ἐπεὶ οἱ πένητες κλέπτουσι διὰ τὴν ἀπορίαν.

sch plut 565 —εἰρωνικῶς. κόσμιον: Ὠφέλιμον. Dv. εὔτακτον. P. πῶς οὐχὶ κόσμιον: (Τὸ πειρᾶσθαι λαθεῖν.

sch plut 566 ) τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης πειράζων λέγει καὶ χλευάζων· ἢ ὅτι τὸ παλαιὸν οὐ διεβέβλητο ἡ κλοπή, εἰ μὴ φωραθεὶς κλέπτων ὑπῆρχεν. ⟦ Ἄλλως. εἴ γε ὁ κλέπτης λανθάνει· ψυχρὸν δὲ τὸ ἐνθύμημα. ⟧ —εἴγε δεῖ λαθεῖν: Ἀπόκειται μὴ γνωσθῆναι. P. ἀπόκειται. Θ. σκέψαι: Λογίζου.

sch plut 567 Dv. ἐξέτασον. P. τοὺς ῥήτορας: Τοὺς κριτάς. ὡς: Ὅτι. Dv. περὶ τὸν: Εἰς τόν.

sch plut 568 Dv. ἀπὸ τῶν κοινῶν: Ἀπὸ τῶν δημοσίων χρημάτων.

sch plut 569 Dv. πραγμάτων. Θ. P. ⟦ ἐπιβουλεύουσί τε: Διαβάλλει τοὺς ῥήτορας, ὡς δῶρα λαμβάνοντες παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν, οὐκ ἐῶντες αὐτὴν τούτους ἀμύνασθαι.

sch plut 570 ⟧ —ἐπιβουλεύουσι: Ἤγουν κακῶς βουλεύουσιν. Dv. ἐπίβουλοι γίνονται. πολεμοῦσιν: Μάχονται. P. καίπερ σφόδρα: Συναινεῖ διισχυριζόμενος κατὰ τὸ τῶν ῥητόρων σχῆμα, διασύρων αὐτήν.

sch plut 571 τὸ δὲ βάσκανος ἁπλῶς ἐπὶ λοιδορίᾳ τιθέασιν. —ψεύδει: Ψευδὲς λέγεις. P. τούτων: Ὧν περὶ τῶν ῥητόρων λέγεις. Θ. Dv. ὧν εἶπας. βάσκανος: Ἐχθρή. P. ἀτὰρ οὐχ ἧττον: (Ὅμως, φησίν, εἰ καὶ ἀληθεύεις, μὴ μέγα φρονήσῃς· οὐδὲν γὰρ ἧττον τὰ αὐτὰ πείσῃ.

sch plut 572 κομήσῃς δὲ ἀντὶ τοῦ) ὑπερηφανήσῃς, παρὰ τὸ τοὺς κομῶντας καυχητιᾶν. ⟦ ἢ ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἃ τὴν κόμην ὑψοῦ ἔχουσι. τοιοῦτοι δὲ καὶ οἱ ὑπέρφρονες, ὑψοῦ τὴν γνώμην αἴροντες. ⟧ —τοῦτο δὲ διὰ μέσου εἴρηται, καὶ ἔστι τό, ὅτι ζητεῖς, πρὸς τὸ κλαύσει. Junt. διὰ τῶν λόγων ὧν εἶπας, ἀλλὰ ἐπίσης τιμωρηθήσῃ δηλ. P. ταύτῃγε κομίσῃς: Ἀπὸ τούτου ἐπαρθῇς. Dv. ἐπαρθῇς. P. ὁτιὴ ζητεῖς: Ἐπεὶ ἐξετάζεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 573 Ρ. ἐλέγξαι μ’: Ἐμὲ ψευδόμενον.

sch plut 574 Ρ. (Περὶ τοῦ μὴ) διαφέρειν με τοῦ Πλούτου. R. V. καὶ πτερυγίζεις: (Κοῦφα καὶ μάταια διαλέγῃ.

sch plut 575 ἀπὸ τῶν νεοσσῶν, ἃ πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται· οὕτω καὶ σὺ θέλεις μὲν ἀντειπεῖν καὶ πειράζεις, οὐδὲν δὲ ἀνύεις. Ἄλλως. ἀλλὰ φλυαρεῖς διὰ λόγων·) τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν· ἢ κοῦφα λαλεῖς· ἢ ματαιοπονεῖς, ἀπὸ μεταφορᾶς [τῶν] ὀρνέων τῶν μὴ δυναμένων πέτεσθαι διὰ τὸ βραχὺ τῆς ἡλικίας. Ἄλλως. ἀντὶ τοῦ, πειράζεις πολλὰς ἀνηνύτους ὁρμὰς, καθάπερ καὶ οἱ νεοττοὶ πειράζοντες τὴν πτέρυγα καὶ γυμνάζοντες ἄπρακτον ἔχουσι τὴν τῆς πτήσεως φοράν. —φλυαρεῖς: Πολυλογίζεις. Ρ. πτερυγίζεις: Ματαιάζεις. Θ. Dv. ἀδύνατα λέγεις. ἅπαντες: Ὅλοι. Ρ. βελτίους: Καλούς.

sch plut 576 σκέψασθαι: Μαθεῖν. Dv. ἀπὸ τῶν παίδων: Δυσχερές ἐστι μαθεῖν τὸ δίκαιον, ὅπου γε καὶ οἱ παῖδες διὰ τοῦτο μισοῦσι τοὺς πατέρας.

sch plut 577 —φρονοῦντας ἄριστα: Ποιοῦντας καλῶς. Dv. ἄριστα: Ὠφέλιμα. Ρ. διαγινώσκειν: Διακρίνειν.

sch plut 578 Ρ. σύναπτε τὸ δίκαιον ἐνταῦθα. Dv. χαλεπὸν: Δυσχερές. Ρ. δίκαιον: Τὸ νὰ εὕρῃ τις τὸ δίκαιον, δύσκολόν ἐστι πρᾶγμα. Ρ. ⟦ τὸν Δία φήσεις: Τὸ μὲν φήσεις λέγεται πρὸς τὴν Πενίαν.

sch plut 579 τὸ δὲ, ταύτην δ’ ἡμῖν ἀποπέμπει, πρὸς τὸν Βλεψίδημον. ἢ καὶ τὸ φήσεις πρὸς τὸν Βλεψίδημον, ἤγουν, εἴποις κατὰ τὸν αὐτῆς λόγον. ⟧ —ὀρθῶς: Ἀπταίστως. κράτιστον: Λυσιτελές. Ρ. Τινὲς μετὰ τοῦ ν τὸν κράτιστον. R. κἀκεῖνος: Ὁ Ζεύς.

sch plut 580 Ρ. ἀλλ’ ὦ Κρονικαῖς γνώμαις: (Ἤγουν, ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν.

sch plut 581 παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀμβλυωπούντων, ἥτις εἴρηται καὶ ἐν Νεφέλαις [326]. ἀντὶ δὲ τοῦ γνώμαις γράφεται λήμαις.) λήμη δέ ἐστι τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. (τοῦτο δὲ διὰ τὸ εἶναι αὐτοὺς γέροντάς φησι. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὂν λήμας μεγάλας ποιεῖ.) σημαίνει οὖν τὸ τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἐμποδίζονται τὰς ὄψεις. —Κρονικαῖς: Παλαιαῖς καὶ μωραῖς. Θ. Dv. παλαιαῖς καὶ μεγάλαις. Ρ. λήμαις: Τζίμβλαις. D. λημῶντες: Τυφλώττοντες. Dv. τυφλώττοντες ἢ τετυφλωμένοι ὄντες. Θ. τυφλώττοντες, βεβλαμμένοι. Vict. λημῶντε: Οἱ τζυμβλώττοντες. ἄμφω: Ὁμοῦ οἱ δύο. Ρ. πένεται: Πένης ἐστί.

sch plut 582 φανερῶς: Καθαρῶς νουθετήσω. Ρ. δι’ ἔτους πέμπτου: Κατὰ γὰρ ε′ χρόνους ἐγίνετο.

sch plut 584 Θ. κατὰ πεντέχρονον ἐγένετο εἰς τὰ Ὀλύμπια συνάθροισις. Dv. ἀνεκήρυττεν: Ἀνηγόρευεν.

sch plut 585 Θ. Dv. κοτίνου στεφάνῳ: (Κοτίνου στεφάνῳ στεφανώσας ἀνεκήρυττε τοὺς νικῶντας.

sch plut 586 Ἄλλως. οὐ κοτίνῳ ἐστέφοντο, ἀλλὰ τῷ τῆς καλλιστεφάνου ἐλαίας κλάδῳ.) οὐκ ἀκριβῶς οὖν· καλλιστέφανος γὰρ ἡ ἐλαία λέγεται. τούτῳ δὲ ἥρμοττεν ἐκφαυλίζοντι (λέγειν κοτίνῳ. καὶ Ἀριστοτέλης δὲ οὕτω φησὶ [Mirab. ausc. c. 51] κατὰ λέξιν περὶ αὐτῆς, «ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται «δὲ καλλιστέφανος· ταύτης δὲ ἔμπαλιν τὰ φύλλα ταῖς «λοιπαῖς ἐλαίαις πέφυκεν· ἔξω γὰρ, ἀλλ’ οὐκ ἐντὸς «ἔχει τὰ λευκά.) ἀφίησί τε τοὺς πτόρθους, ὥσπερ ἡ «μύρτος, (εἰς τοὺς στεφάνους συμμέτρους). ἀπὸ ταύτης «λαβὼν καρπὸν Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ’ «ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη «παρὰ τὸν Ἰλισσὸν ποταμὸν, σταδίους ξ′ τοῦ ἱεροῦ «ἀπέχουσα· περιῳκοδόμηται δὲ, καὶ ζημία μεγάλη τῷ «θιγόντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης ἔφερον λαβόντες «Ἠλεῖοι τῶν ἀθλητῶν ἐν Ὀλυμπίᾳ τοὺς στεφάνους.» ⟦ τῷ δὲ κωμικῷ, φασὶν, ἥρμοττεν ἐκφαυλίζοντι τὸ πρᾶγμα λέγειν, ὡς ἐκ κοτίνου ἐστεφανοῦντο, ὃ δηλοῖ τὴν ἀγριέλαιον, καὶ ἅμα διότι καὶ χρήσιμος αὐτῷ ἡ λέξις ἐν τοῖς ἑξῆς· καταρρητορεύσει γὰρ ὁ Χρεμύλος καὶ ἡττηθεὶς ἐρεῖ ἀλλά ς’ ὁ Ζεὺς ἐξολέσειε κοτίνου στεφάνῳ στεφανώσας · τουτέστι, κότον σοὶ θέμενος περὶ τὴν κεφαλήν· παρήχηται γὰρ ὁ κότινος τῷ κότῳ, δι’ οὗ δηλοῦται μεγάλη ὀργή. ἀπὸ δὲ τοῦ τοιούτου κοτίνου, τοῦ φυτοῦ δηλαδὴ, καὶ

νῆσος Κοτινοῦσα τὰ Γάδειρα, διὰ τὸ τοιούτοις ἐνευθηνεῖσθαι φυτοῖς, ὡς καὶ ὁ Περιηγητὴς [v. 456] δηλοῖ. ὡς δὲ καὶ ἕτεροι τόποι ἀπὸ φυτῶν τὴν κλῆσιν ἔσχον, τεθρύλληται καὶ αὐτό· Μυρρινοῦς γοῦν δῆμος ἐν Ἀττικῇ μυρρίνας ἔχων· ὅθεν αὐτὸς Μυρρινόεις, καὶ κατὰ συναίρεσιν Μυρρινοῦς· ὥσπερ ἕτερος Ῥαμνοῦς, ἀπὸ τῶν ἐκεῖ φυομένων ῥάμνων, ὧν οἱ δημόται Μυρρινούσιος καὶ Ῥαμνούσιος. καὶ ἡ Ἐρεικοῦσα λέγεται διὰ τὰς ἐν αὐτῇ ἐρείκας· καὶ ἡ Ποντικὴ δὲ Κερασοῦς ἀπὸ τῶν φυτῶν τῶν κεράσων κέκληται· καὶ Πιτυοῦσα ἡ Μίλητός ποτε διὰ τὸ πολλὰς ἔχειν πίτυας ἐκλήθη. οὕτω καί τις Πιτυούσιος ἀπὸ τόπου ἑτέρου πολλὰς ἔχοντος πίτυας, ἐξ ὧν ἐκεῖνος καὶ παρωνόμασται· τὸ δ’ αὐτὸ καὶ ἄλλοι τόποι πεπόνθασι. ἰστέον δὲ ὡς, εἰ καὶ κρατεῖ παρὰ τοῖς ἀπειροτέροις κότινον στέφανον εἶναι, ἀλλ’ αὐτὸς μὲν φυτοῦ, ὡς ἐρρέθη, κλῆσίς ἐστιν. ὁ δὲ κωμικὸς ἐδήλωσεν ἐντελὲς καὶ σαφὲς εἶναι τὸ μὴ κότινον τὸν τοιοῦτον λέγεσθαι στέφανον, ἀλλ’ ἐκ κοτίνου στέφανον. οὕτω δὲ καὶ ταινία οὐχ ἁπλῶς οὕτως στέφανος, ἀλλ’ ἡ ἐκ ταινίας περιείλησις ἐν τῇ κεφαλῇ· ταινία δέ, στενόν τι καὶ ἐπίμηκες ὕφασμα, κοινότερον δὲ εἰπεῖν, φασκία. ⟧ κοτίνῳ: Ἐλαΐνῳ. Θ. Dv. Ε. κοτίνου στεφάνῳ: Ἐν τῷ μὴ χρυσῷ, ἀλλ’ ἐξ ἐλαίας στεφανοῦν. Θ. ἐξ ἀγρίας ἐλαίας ἤγ.

sch plut 586 (50) ἀπὸ κοτίνου πεποιημένου .... διὰ χρυσοῦ στεφανοῦν δηλ. Ρ. ἐχρῆν: Ἔπρεπεν. Dv. οὐκοῦν.

sch plut 587 Τὸ λοιπόν. τούτῳ: Τῷ τρόπῳ. Dv. οὐκοῦν τούτῳ: Διὰ τὸ κοτίνῳ στεφάνῳ στεφανοῦν τοὺς ἀθλητάς. ἐκεῖνος: Ὁ Ζεύς. Ρ. φειδόμενος: Ἀκριβολογούμενος.

sch plut 588 μηδὲν: Μέρος ἀναλῶσθαι. Ρ. δαπανᾶσθαι: Ἀναλίσκεσθαι. Dv. ⟦ λήροις ἀναδῶν: Εὐτελίζει τὸν Ὀλυμπιακὸν στέφανον, ὡς μὴ σπουδαῖον, λῆρον δέ πως ὄντα, καὶ οἷον ἐκφλαυρίζεσθαι, καθά τις ἔφη τῶν παλαιῶν, τουτέστι περιφρονεῖσθαι.

sch plut 589 εἰσὶ δὲ οἳ καὶ παίζειν φασὶ τὸν κωμικὸν πρὸς ὁμοιότητα ἤχου τοῦ κατά τε τὸν λῆρον, τὸν διὰ τοῦ η γραφόμενον, καὶ τοῦ παρὰ τὸ λείριον, ὃ γράφεται μὲν διὰ διφθόγγου κατὰ τὴν ἄρχουσαν, σημαίνει δέ τι ἄνθος, ἀφ’ οὗ καὶ [Hom. Il. Γ, 152] «φωνὴ λειριόεσσα,» ἡ ἀνθηρά· καὶ κύριον Ποδαλείριος, οἱονεὶ ἀνθηρόπους, ἢ διατρίβων ἰατρικῶς περὶ τὰ λείρια· περὶ οὗ καὶ ἐν τῇ Ἰλιάδι· ἵνα ἐν τῷ λέγειν, λήροις ἀναδῶν τοὺς νικῶντας, δοκῇ διχῶς νοεῖν, ἢ ὅτι ἀνθηρῷ στεφάνῳ στεφανοῖ, ὡς οἷον λειριόεντι· ἢ ὅτι λήρῳ τῷ κατὰ φλυαρίαν. τοιοῦτόν τι παίζει καὶ περὶ κειρύλου ἐν Ὄρνισι [300], ἔνθα καὶ διὰ τοῦ η νοεῖται ἡ λέξις, ὡς ἐπὶ ὄρνιθος οὕτω λεγομένου· καὶ διὰ διφθόγγου δὲ διά τινα κουρέα, ὡς ἀπὸ τοῦ κείρω. τὸ δὲ ἀναδεῖν ταὐτόν ἐστιν ἐνταῦθα τῷ στεφανοῦν, ἐξ οὗ καὶ ἀνάδετος γυναικεῖος κόσμος, ὃς καὶ ἀναδέσμη λέγεται· ἔχει δὲ ἀπεναντίον πρὸς τὸ ἀναδεῖν τὸ ὑποδεῖν, ἐξ οὗ καὶ τὸ ὑπόδημα· τὸ μέν τοι διάδημα ἐπὶ κόσμου βασιλικοῦ τοῦ περιδουμένου δι’ ὅλου σώματος. ⟧ —λήροις: ἀναδέων εὐτελέσι στεφάνοις. R. V. φαύλοις πράγμασι στεφανῶν· ἀφ’ οὗ ἀνάδημα ὁ στέφανος. Θ. παιγνίοις. D. λείροις: Ἄνθεσιν. C. λήροις ἀναδῶν: Φλυαρίαις στεφανῶν. ἐᾷ: Ἀφίησι. παρ’ αὐτῷ: Κεῖσθαι. Ρ. τὸ γὰρ ἀπατᾶν τοῦ πένεσθαι χεῖρον, ἐπειδὴ τρόπου κακία ἐστίν.

sch plut 590 R. V. τοῦτο δεικτικῶς. V. ⟦ ζητεῖς αὐτῷ περιάψαι: Ἴσον ἐστὶ τῷ προσάψαι· λέγεται δὲ τὸ αὐτὸ καὶ ἀνάψαι, ὡς παρ’ Ὁμήρῳ [Od. Β, 86] ἐν τῷ «ἐθέλεις δέ κε μῶμον ἀνάψαι.» ἔστι δέ τι καὶ ἄλλο σημαινόμενον τοῦ περιάπτω, ἐξ οὗ τὰ γοητευτικὰ περίαπτα· δηλοῖ δὲ ἀπαιώρησίν τινα ἡ λέξις, ὅθεν καὶ τὰ ῥηθέντα περίαπτα, ὧν ἀπαιωρουμένων τοῦ σώματος δοκοῦσιν οἱ φαῦλοι εὖ ἔχειν τοῦ ζῆν δι’ αὐτά, ὡς εἶναι μᾶλλον αὐτοὺς ἀπαιωρουμένους τῶν τοιούτων, οἷς ἐλπίζουσιν ἐπ’ αὐτά. ὁ δὲ ἀνελεύθερος κακίᾳ παρωνόμασται τῇ ἀνελευθεριότητι. ἔστι δὲ κατ’ ἀρετὴν μὲν ἄνθρωπος ὁ ἐλεύθερος, ὃς ἀντιθέτως τῷ φειδωλῷ δαπανᾷ δεόντως· ἀνελεύθερος δὲ ὁ μὴ τοιοῦτος, ἀλλὰ κατὰ τοὺς κίμβικας καὶ σκιφοὺς διακείμενος· ὁ δὲ φιλοκερδὴς εἰς ταὐτὸν ἥκει τῷ ἀνελευθέρῳ· εἰκὸς γὰρ τὸν φιλοκερδῆ καὶ σμικρολόγον εἶναι, εἴτ’ οὖν ἀνελεύθερον. τὸ δὲ κοτίνου στεφάνῳ στεφανώσας, παιγνιωδῶς διττολογεῖται· κεῖται γὰρ καὶ ἀνωτέρω. ἔθος δὲ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κωμικῷ πολλαχοῦ διττολογεῖν ἐπὶ γέλωτι. ]] —αἴσχιον: Αἰσχρότερον, ἀτιμότερον. Θ. περιάψαι: Περιθεῖναι. Θ. Dv. Ρ. ἀνελεύθερος: Φειδωλός.

sch plut 591 οὑτωσὶ: Καθὼς αὐτὸς λέγεις. Θ. Dv. Ρ. ἀλλὰ σέ γ' ὁ Ζεὺς: Τοῦτο εἴρηκεν ὁ Χρεμύλος ἐπιστομηθεὶς παρὰ τῆς Πενίας, καὶ μὴ δυνάμενος ἀντιλέγειν εἰς κατάραν τὸν λόγον ἔτρεψε.

sch plut 592 Junt. τοῦτο παίζων ὁ Χρεμύλος λέγει. Dv. ἀλλά σε ὁ Ζεὺς: Εἴθε. ἐξολέσειεν: Παντελῆ φθορᾷ δοίη. Ρ. [[ τὸ γὰρ ἀντιλέγειν: Ὅτι σχῆμα κεῖται καινὸν ἐλλειπτικὸν ἐνταῦθα τόδε· τὸ γὰρ λέγειν τολμᾶν ὑμᾶς, ὡς οὐ πάντη ἐστὶ τἀγάθ' ὑμῖν διὰ τὴν πενίαν· λείπει γὰρ φανερῶς ἐνταῦθα ἔννοιά τις ἀκεραία τοιαύτη, τίς ἂν ἀκούων ἀνάσχοιτο, ἢ, πῶς οὐκ ἂν εἴη φορτικὸν, ἢ, πῶς οὐκ ἀντιλέγοιτο, ἢ τοιοῦτόν τι· ἵνα λέγῃ ἡ Πενία ὅτι, τὸ γὰρ τολμᾶν ὑμᾶς λέγειν, ὡς οὐ δι' ἐμὲ ὑμῖν τὰ ἀγαθὰ, πῶς ἂν εἴη φορητὸν ἀκούεσθαι; καὶ σημείωσαι τὸ τοιοῦτον εἶδος τῆς ἐλλείψεως ἐνδεικτικὸν ὂν θυμικοῦ ἤθους, καὶ ἐγκοπτομένης τῆς τελείας φράσεως διὰ τὸ πολὺ τῆς ὀργῆς.

sch plut 593 —Ἄλλως. αὕτη ἡ κατασκευὴ πρὸς τὸν τοῦ Χρεμύλου λόγον ἐστὶν, ὥσπερ τῆς Πενίας αὐτῷ λεγούσης ὅτι οὐ δεῖ δυσχεραίνειν πρὸς τοὺς ἐμοὺς λόγους· δεινὸν γὰρ τὸ τολμᾶν ὑμᾶς ἀντιλέγειν ἐμοὶ, ὡς οὐ πάντ' ἐστὶ τἀγαθὰ ὑμῖν διὰ τὴν πενίαν· ἡ γὰρ ἀντιλογία ὑμῶν εἰς τούτους ὑμᾶς τοὺς ἀσεβεῖς λόγους καὶ ἄκοντας ὤθησεν· ἀσεβὲς γάρ ἐστι τὸ λέγειν τὸν Δία φειδωλὸν, καὶ τὰ τούτῳ ἑπόμενα. Junt., Dv. ἀντιλέγειν: Ἐμοί. ὡς: Ὅτι. ὑμῖν: Ἐν. Ρ. οὐ μωρόν; Θ. ]] παρὰ τῆς Ἑκάτης ἔξεστι: (Τὴν Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων τὸ παλαιὸν, διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἄρτεμιν καὶ Ἑκάτην καλεῖσθαι.

sch plut 594 κατὰ δὲ νουμηνίαν οἱ πλούσιοι ἔπεμπον δεῖπνον ἑσπέρας, ὥσπερ θυσίαν τῇ Ἑκάτῃ ἐν ταῖς τριόδοις· οἱ δὲ πένητες ἤρχοντο πεινῶντες, καὶ ἤσθιον αὐτὰ καὶ ἔλεγον ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά. λέγει οὖν, παρὰ τῆς Ἑκάτης μάθωμεν [τῆς ἐπισταμένης] τί καλὸν, πενία ἢ πλοῦτος· αὕτη γὰρ ἐπίσταται τίνες παρέχουσιν αὐτῇ δεῖπνα καὶ τίνες ἐσθίουσιν αὐτά. Ἄλλως.) ἔθος ἦν ἄρτους καὶ ἄλλα τινὰ κατὰ μῆνα τιθέναι τῇ Ἑκάτῃ τοὺς πλουσίους, λαμβάνειν δ' ἐξ αὐτῶν τοὺς πένητας· ἀπὸ τῶν ἱερῶν γὰρ οἱ πτωχοὶ ζῶσιν. —διὰ τὴν πενίαν: Οὐ μωρόν ἐστι; Dv. οὐ κακόν ἐστι δηλ. Ρ. Ἑκάτης: τῇ Ἑκάτῃ θύουσι τῇ τριακάδι. R. σελίνης. Dv. ἔξεστιν: Δυνατὸν ὑπάρχει μαθεῖν. Ρ. πυθέσθαι: Μαθεῖν. Dv. βέλτιον: Λυσιτελές.

sch plut 595 Ρ. ἢ εἰς τούτους σε τοὺς ἀσεβεῖς ὤθησε λόγους λέγειν τὸν Δία φειδωλὸν καὶ τὰ ἑπόμενα τῇ φειδωλίᾳ. Θ. δεῖπνον: Ἐξ ᾠῶν καὶ τυροῦ τετηγανισμένου.

sch plut 596 Θ. Dv. κατὰ μῆνα προπέμπειν: Εἰς τὴν γέννησιν, προπ. εἰς τὰς τριόδους. Ρ. ἤγουν φανείσης τῆς σελήνης. Θ. τοὺς δὲ πένητας: Ἐκ τῶν ἱερῶν οἱ πτωχοὶ ἔζων.

sch plut 597 Gl. Θ. Dv. ἁρπάζειν: Ἑτοίμως λαμβάνειν. Ρ. πρὶν: Προτοῦ. Dv. καταθεῖναι: Κάτω θεῖναι. Ρ. [[ ἀλλὰ φθείρου καὶ μὴ γρύζης: Ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν κα', ὧν τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ δεύτερον μονόμετρον ἀκατάληκτον, τὸ γ' ὅμοιον τῷ πρώτῳ, τὸ δ' καὶ τὸ πέμπτον ὅμοια, τὸ ς' ὅμοιον τῷ δευτέρῳ, τὸ ἕβδομον ὅμοιον τῷ α', τὸ η' ὅμοιον τῷ δευτέρῳ, τὸ ἔννατον ὅμοιον τῷ α', τὸ δέκατον ὅμοιον τῷ δευτέρῳ, τὸ ια' ὅμοιον τῷ πρώτῳ, τὸ ιβ' ὅμοιον τῷ β', τὸ ιγ', τὸ ιδ', τὸ ιε', τὸ ις', τὸ ιζ', τὸ ιη', τὸ ιθ' ὅμοια τῷ πρώτῳ, ἤτοι δίμετρα ἀκατάληκτα· τὸ κ' ὅμοιον τῷ β', ἀναπαιστικὴ βάσις, ἤτοι μονόμετρον, ὃ καὶ παρατέλευτον ὀνομάζεται· τὸ κα', καὶ τῆς πενίας καταπαρδεῖν, δίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ἤτοι ἑφθημιμερὲς, ὅμοιον τῷ Κρατίνου ἐν Ὀδυσσεῦσιν, σιγάν νυν ἅπας ἔχε, σιγὰν, καὶ πάντα λόγον τάχα πεύσῃ.

sch plut 598 ἡμῖν δ' Ἰθάκη πατρίς ἐστι, πλέομεν δ' ἅμ' Ὀδυσσέϊ θείω. καλεῖται δὲ παροιμιακὸν, ὡς Ἡφαιστίων φησὶ, διὰ τὸ παροιμίας τινὰς ἐν τούτῳ τῷ μέτρῳ εἶναι· οὐκ εἰκότως δέ· εἰσὶ γὰρ παροιμίαι ἐπικαὶ καὶ ἰαμβικαὶ, καὶ οὐ τούτου μόνου τοῦ μέτρου. εἶτα δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ τελευταίου κώλου, ἡ δὲ κατὰ τὸ τέλος· ἀμφότεραι ἔξω νενευκυῖαι. ]] (καὶ μὴ γρύζης: Μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φθέγγῃ. κυρίως δὲ γρύζειν ἐστὶ τὸ τοὺς μικροὺς χοίρους φωνὴν προΐεσθαι.) —φθείρου: Ἀφανίσθητι. Dv. ἤγουν μετὰ φθορᾶς ἀπέρχου. P. καὶ μὴ γρύζειν: Καὶ μὴ φθέγγεσθαι δίκην χοίρου ποσῶς. Dv. φθέγγου δίκην μικροῦ χοίρου. Θ. μὴ γρύζῃς: Μὴ τὸ τυχὸν λέγε, εἰς τὸ ἑξῆς μηδέν τι. P. μηδ᾽ ὁτιοῦν: μηδὲ ὀλίγον οὖν, μηδὲ τὸ τυχόν.

sch plut 599 V. μηδ᾽ ὅλως. P. οὐδ᾽ ἢν πείσῃς: Ἐν ὑπερβολῇ λέγει, ὅτι κἂν πείσῃς, οὐχ ἕξεις ἡμᾶς πειθομένους σοι· ⟦ οὐδὲ ἐὰν πιθανῶς διαλεχθείης, πείσεις ἡμᾶς συνθέσθαι σοι, καὶ τὸν Πλοῦτον καταλιπεῖν.

sch plut 600 ⟧ ὦ πόλις Ἄργους: Ταῦτα ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται.

sch plut 601 ⟦ μετείληπται δὲ ὁ στίχος ἐκ Φοινισσῶν Εὐριπίδου, Πολυνείκους λέγοντος. οὐδὲ γὰρ ἀκολούθως καλεῖ ἐν Ἀθήναις οὖσα. διαβάλλει δὲ τοὺς Ἀργείους ὡς πένητας. ⟧ —τοῦτο Εὐριπίδου ἐστὶν ἐκ Φοινισσῶν, Πολυνείκους λέγοντος. Θ. κλύεθ᾽: Ὦ Ἀργεῖοι. Paris. Παύσωνα κάλει τὸν ξύσσιτον: Σύντροφον καὶ συνδιαιτητήν.

sch plut 602 ὁ Παύσων δὲ ἐπὶ πενίᾳ κωμῳδεῖται ζωγράφος ὤν. —μετακαλοῦ σύντροφον τὸν Παύσωνα κωμῳδεῖται δὲ ἐπὶ πενίᾳ ὁ Παύσων ζωγράφος ὤν. P. Παύσωνα: Οὗτος ζωγράφος ὢν πάνυ πτωχὸς ἦν. τὸν ξύσσιτον: Τὸν σύντροφον τὸν σόν. Θ. Dv. τί: Ἵνα.

sch plut 603 τλήμων: Ἀθλία, ἤγουν ἡ δυστυχής. P. ἡ ἀθλία. Dv. ἐς κόρακας: ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ φθοράν.

sch plut 604 Βοιωτοῖς γὰρ ἀναστάτοις ἀπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοις εἶπεν ὁ θεὸς ἐκεῖ κατοικεῖν ἔνθα ἂν ἴδωσι λευκὸν κόρακα. οἱ δὲ ἐν Θετταλίᾳ περὶ τὸν Παγασητικὸν κόλπον εἶδον περιιπταμένους τοὺς τοῦ Ἀπόλλωνος ἱεροὺς κόρακας, οὓς παῖδες ἀφῆκαν γυψώσαντες ὑπὸ μέθης, καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντες ἐνταῦθα κατῴκησαν. οἱ δὲ ἀπὸ τοῦ ζῴου λέγεσθαι τὴν παροιμίαν φασίν· ἐν γὰρ τοῖς ἐρημοτέροις τόποις ἐπιτηρεῖ τὰ πτώματα. V. Ἔρρ᾽: Μετὰ φθορᾶς ἀπέρχου. Θ. ἄπελθε εἰς τοὺς κόρακας ταχέως. P. θᾶττον: Ταχέως. Dv. εἶμι: Ποῦ πορεύσομαι.

sch plut 605 Θ. Dv. ἐλεύσομαι. ποῖ γῆς: Εἰς ποῖον μέρος. P. ἐς τὸν κύφωνα: [Κύφων] ὁ ξύλινος δεσμὸς, ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ, ⟦ ὃν καὶ κυφῶνα περισπωμένως λέγουσι ⟧ .

sch plut 606 τινὲς δὲ Κύφωνα ὄνομα κύριόν φασι πτωχοῦ τινος. ⟦ οἱ δὲ κρημνὸν οὕτω καλούμενον. ⟧ —ἐς τὸν: Ἄπελθε δηλ. P. οἱ μὲν τὸν κύφωνα τιμωρητικὸν ὄργανον φασὶν, ὃν καὶ κυφῶντα περισπωμένως λέγουσιν· οἱ δὲ ἄνδρα καθ᾽ ὑπερβολὴν πένητα· οἱ δὲ κρημνὸν οὕτω καλούμενον. P. (ἀλλ᾽ οὐ μέλλειν: Ἀλλ᾽ οὐ χρή σε, φησὶ, βραδύνειν, ἀλλ᾽ ἐπείγεσθαι εἰς ὄλεθρον.) μέλλειν: Βραδύναι. Dv. βραδύνειν. Θ. P. τινὲς μετὰ τοῦ τ ἀνύτειν· πλεονάζουσι γὰρ οἱ Ἀττικοὶ τὸ τ.

sch plut 607 R. V. Θ. ἀλλ᾽ ἀνύειν: Ἀνύω τὸ τελειῶ· καὶ ἀνύω τὴν ὁδὸν, ἤτοι σπουδαίως βαδίζω. Junt., P. Vict. χρὴ: Πρέπει. Dv. ἀνύειν: Σπεύδειν. Br. χρή ς᾽, ἀλλ᾽ ἀνύειν: Συντόνως ἔρχεσθαι. P. ἀνύττειν: Σπεύδειν τῆς πορίας. Dv. ἦ μὴν: Ὄντως δέ.

sch plut 608 Θ. Dv. ὁρκωμοτικὸν ἐπίρρημα ἀντὶ τοῦ ναὶ μήν. V. P. μεταπέμψεσθον: Μετακαλέσατον.

sch plut 609 Θ. μετακαλέσετε. Dv. P. μετακαλέσασθε. Borg. τότε νοστήσεις: Ὅτε μεταπεμψόμεθά σε.

sch plut 610 ἐν ἤθει δὲ καὶ τοῦτο. —ὅτε μεταπεμψόμεθά σε, ὑποστρέψεις· νῦν δὲ μετὰ φθορᾶς ἀπέρχου. τοῦτο ἐν ἤθει. P. νοστήσεις: Ἐπαναστρέψεις. Θ. Dv. κρεῖττον: Κάλλιον.

sch plut 611 P. κλᾴειν μακρὰ τὴν κεφαλήν: Λείπει τὸ τύπτουσαν· ἢ οὐδὲν λείπει, ἀλλ᾽ ἀντὶ τοῦ κλαίειν ὅλον τὸ σῶμα καὶ σεαυτήν.

sch plut 612 ⟦ Ἀττικὸν τὸ σχῆμα. ⟧ —ἐᾶν: Καταλιμπάνειν. Dv. ἡ τὴν κεφαλὴν τύπτουσα δηλ. λέγει. αἱ γὰρ γυναῖκες, ὅταν κλᾴωσι, τὰς ἑαυτῶν κεφαλὰς τύπτουσιν. ἢ τὸ κεφαλὴν πρὸς τὸ κλᾴειν σύναπτε, καὶ μηδὲν ἔξωθεν λάμβανε. P., Vict. τὴν κεφαλήν: Τύπτουσαν δηλαδή. Dv. εὐωχεῖσθαι: Εὐφραίνεσθαι ὁμοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 614 Dv. τρέφεσθαι. P. ἀντὶ τοῦ ἀνθηρὸς, παρὰ τὸ λίπος· στίλβει γὰρ τὸ ἔλαιον· ἢ ἀντὶ τοῦ ἀληλιμμένος.

sch plut 616 R. V. Θ. τὸ λιπαρὸς ἢ ἀντὶ τοῦ τρυφηλὸς νοητέον· ἢ διότι ἔθος ἦν τοῖς παλαιοῖς μετὰ τὸ λελοῦσθαι ἐλαίῳ δι’ ὅλου τοῦ σώματος ἀλείφεσθαι, ἵνα οἱ πόροι ὑπὸ θέρμης ἀνεῳχθέντες κλεισθῶσιν ὑπὸ τοῦ ἐλαίου ἐπιπωματικοῦ ὄντος, καὶ μὴ δέξωνται ἀέρα ἔκτοθεν. Junt., Dv., Vict. λιπαρὸς: Φαιδρός. P. χωρῶν: Ἐρχόμενος. Dv. βαδίζων, κινούμενος. P. βαλανείου: Λοετροῦ. Dv. τῶν χειροτεχνῶν: Τῶν πενήτων.

sch plut 617 V. τῶν πτωχῶν. Dv. καταπαρδεῖν: καταγελᾶν.

sch plut 618 V. καταφρονεῖν· παίζει δέ. Θ. Dv. καταποπαρδεῖν: Καταφρονῆσαι. P. αὕτη μὲν ἡμῖν: Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ὀκτώ· ἐπὶ τῷ τέλει παράγραφος, καὶ ἑξῆς τὸ χοροῦ.

sch plut 619 κἀνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι, καὶ διατρίψαι μικρὸν, ἄχρις ἄν τις ἐξ Ἀσκληπιοῦ ἀναστρέψειε τὴν τοῦ Πλούτου ἀπαγγέλλων ἀνάβλεψιν. —ἡ ’πίτριπτος: Ἡ ἀξία ἐπιτετρίφθαι. Θ. Dv. ἡ ἀξία τοῦ ἐπιτριβῆναι, ἢ ἡ μεγάλα φθεγγομένη, ἐπείπερ ἔλεγε «τῶν χειροτεχνῶν καὶ τῆς Πενίας καταπαρδεῖν.» R. V. Θ. P. οἴχεται: Ἀπῆλθεν. Θ. Dv. ἀφανὴς γέγονε. P. ὡς τάχιστα: Λίαν ταχέως.

sch plut 620 θεὸν: Τὸν Πλοῦτον. Θ. P. ⟦ ἄγωμεν εἰς: Ἄγειν, τὸ διεξάγειν στράτευμα· ὅθεν καὶ ἀγὸς ποιητικῶς ὁ ἡγεμών.

sch plut 621 καὶ, τοσαῦτα πράγματα ἄγει τις, ἤτοι διευθετεῖ. ἄγειν τὸ νομίζειν καὶ ἡγεῖσθαι, ὡς παρὰ Συνεσίῳ «ἡμέρα μὲν οὖν ἦν, ἥντινα ἄγουσι Ἰουδαῖοι παρασκευήν.» ἄγειν καὶ τὸ φέρειν ἐπὶ ἐμψύχων, ὡς τὸ, ἄγει τὸν νέον εἰς τὸ διδασκαλεῖον. ἄγειν καὶ τὸ συντρίβειν, ἀφ’ οὗ τὸ κατέαγε, καὶ κατεαγὼς, καὶ παρ’ ἰατροῖς κάταγμα, τὸ τῶν ὀστῶν σύντριμμα. Junt. ἐγκατακλινοῦντ’: Καταθήσοντες. Θ. ἐγκαταθήσοντες. εἰς Ἀσκληπιοῦ: Τὸν ναὸν δηλαδή Θ. Dv. P. ⟧ εἰς Ἀσκληπιοῦ: Τὸν ἐν ἄστει λέγει Ἀσκληπιόν· δύο γάρ εἰσιν, ὁ μὲν ἐν ἄστει, ὁ δὲ ἐν Πειραιεῖ, ⟦ ἢ ἐν Ἀχάρναις, ὥς φασι ⟧ . καὶ μὴ: Ὅρα μὴ ἀργῶμεν.

sch plut 622 P. μὴ: Ἵνα. ἐκ παραλλήλου τὸ πάλιν αὖ. Θ. Dv. τὶς: τῶν φίλων. P. διακωλύσῃ: Ἐμποδίσῃ.

sch plut 623 τῶν προὔργου: Τῶν σπουδαίων, τῶν ἀναγκαίων. P. τῶν ἀναγκαίων. Θ. Dv. τῶν ἀναγκαίων, τῶν σπουδαίων, τοῦ πλουτεῖν. R. V. παῖ: Δοῦλε.

sch plut 624 Θ. ἐκφέρειν: Ἐξάγειν. P. ⟦ αὐτόν τ’ ἄγειν τὸν Πλοῦτον: Τοῦτο ὥσπερ διὰ μέσου εἴρηκεν· οὐ γὰρ τὸν Πλοῦτον ἔμελλεν ὁ Καρίων ἀγαγεῖν, ἀλλὰ τὰ στρώματα καὶ τὰ ἄλλα, ὅσα αὐτοῖς εἰς τὴν χρείαν παρεσκεύαστο.

sch plut 625 τὸ δὲ, ὡς νομίζεται, ἢ πρὸς τὸ ἐκφέρειν σύναπτε, ἵν’ ᾖ, ὡς νομίζεται, καὶ νόμιμόν ἐστι τοῖς δούλοις ποιεῖν· ἢ πρὸς τὸ ἄγειν, ἵν’ ᾖ, ὡς νομίζεται ποιεῖν τοὺς ἄγοντας ἀσθενῆ εἰς Ἀσκληπιοῦ. ἢ καὶ τὸ, ἄγειν αὐτὸν τὸν Πλοῦτον, πρὸς τὸν Καρίωνα, ἤγουν, μετὰ τῶν ἄλλων καὶ τοῦτον ἐξένεγκε. Junt. ⟧ ὡς νομίζεται: ὡς πρέπει καὶ ὡς ἔθος ἐστὶν, ἀντὶ τοῦ ὡς δίκαιόν ἐστι. V. Θ. ὡς νόμιμόν ἐστιν ὁδηγεῖν τὸν τυφλόν. P. ἔνδον: Τῆς οἰκίας.

sch plut 626 ηὐτρεπισμένα: Ὠικονομημένα. P. εὐτρεπισμένα: τὰ πρὸς τὴν θυσίαν τοῦ Ἀσκληπιοῦ. V. R. Θ. ⟦ ὦ πλεῖστα Θησείοις: Ἕτερον σύστημα ἀμοιβαῖον τῶν ὑποκριτῶν.

sch plut 627 εἰσὶ δὲ οἱ πρῶτοι ι′ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι· ὁ ἑνδέκατος ἀντισπαστικὸς τρίμετρος βραχυκατάληκτος, ἐπιμεμιγμένος ἐπιτρίτῳ β′· ὁ δωδέκατος ἰαμβικὸς τρίμετρος· οἱ ἑξῆς δύο ἀντισπαστικοὶ τρίμετροι βραχυκατάληκτοι τοῦ πρώτου ποδὸς πεντασυλλάβου, τουτέστι διτροχαίου (αἱ γὰρ βραχεῖαι κατ’ ἀρχὰς συλλαβαὶ ἀντὶ μιᾶς μακρᾶς λογιζέσθωσαν) , τοῦ δὲ δευτέρου ἐπιτρίτου δευτέρου. ἐπὶ τῷ τέλει παράγραφος. σημείωσαι ἐνταῦθα ὅτι δέον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χορὸν διὰ μέσου θεῖναι, μέχρις ἂν ἐκεῖνοι ἐς Ἀσκληπιοῦ ἐλθόντες ἀναβλέψαιεν τὸν Πλοῦτον, ὁ δὲ παραχρῆμα τὸν Καρίωνα εἰσφέρει εὐαγγελίζοντα τοῖς γέρουσι περὶ τῆς τοῦ Πλούτου ἀναβλέψεως. ἐποίησε δὲ τοῦτο οὐκ ἀλόγως, ἀλλὰ τῇ τε τῆς νέας κωμῳδίας συνηθείᾳ, ἐν ᾗ αἱ παραβάσεις ἐπαύσαντο, ὡς προείρηται, καὶ ἅμα δεῖξαι βουλόμενος ὡς ἄρα τάχιστα πάνυ ὁ Πλοῦτος ἀνέβλεψεν. ⟧ ὦ πλεῖστα Θησείοις μεμυστιλημένοι: [Ὁ θεράπων ἔρχεται ἀγγέλλων τὸν Πλοῦτον ἀναβλέψαντα.] μετὰ τὸ χαρίσασθαι τὴν δημοκρατίαν τοῖς Ἀθηναίοις τὸν Θησέα, Λύκος τις συκοφαντήσας ἐποίησεν ἐξοστρακισθῆναι τὸν ἥρωα· ὁ δὲ παραγενόμενος εἰς Σκῦρον διῆγε παρὰ Λυκομήδει τῷ δυνάστῃ τῆς νήσου, ὃς ζηλοτυπήσας ἀναιρεῖ αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λοιμώξαντες καὶ κελευσθέντες ἐκδικῆσαι τῷ Θησεῖ, τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι καὶ τὸ Θησεῖον οἰκοδομήσαντες ἰσοθέους αὐτῷ τιμὰς νέμουσιν. —Ἄλλως. Ταῖς ὀγδόαις τὰ Θησεῖα ἦγον καὶ ἀνεῖτο ἡ ὀγδόη πᾶσα τῷ Θησεῖ, ἐν Ἀθήναις δὲ δημοτελὴς ἑορτὴ συντείνουσα πρὸς τὴν τοῦ ἥρωος τιμήν. ἐκαρύκευον δὲ ζωμόν. Ἄλλως. V. (διανομαὶ καὶ εὐωχίαι τοῖς Θησείοις ἐγίνοντο. ἑορτὴ δὲ αὐτῷ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικὴν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην.) [μεμυστιλημένοι, εὐωχημένοι, ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις καὶ μύστρια μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις, οἷον μυστλίον τι ὄν. ἐν ταύτῃ δὲ τῇ ἑορτῇ πάντες προῖκα ἤσθιον καὶ τὴν ἀθάραν καὶ ἄλλα τινά.] Ἄλλως. ὁ κοῖλος ἄρτος μυστίλη καλεῖται, ἤγουν ἀθάρα· ἐν γὰρ τοῖς Θησείοις ἀθάραν ἤσθιον. ὁ δὲ νοῦς, ὦ πολλὰ ταλαιπωρήσαντες, καὶ εἰς οὐδὲν ἑστιαθέντες, νῦν δὲ εὐτυχήσαντες. —Ἄλλως. τὸ Θησείοις εἰ μὲν διὰ τῆς οι διφθόγγου γράψεις, τὴν ἑορτὴν τοῦ Θησέως ἐρεῖς· εἰ δὲ η, ἀντὶ τοῦ μισθαρνίαις νοήσεις. τὸ δὲ μεμιστυλλημένοι ἀντὶ τοῦ τεθραμμένοι καὶ ζωμὸν ῥοφήσαντες· μιστυλλᾶν γὰρ παρὰ τοῖς Ἀττικοῖς δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ διὰ μιστύλλης (ὅ ἐστιν. ἄρτου κοίλου, οἷα δοίδυκος) ζωμὸν ἀρύεσθαι. γίνεται δὲ παρὰ τὸ μεῖστον, ὅ ἐστι τὸ σμικρότατον· ἀλλὰ τὸ μὲν μεῖστον διὰ διφθόγγου γράφεται, ὡς ἀπὸ τοῦ μεῖον γενόμενον· καὶ γὰρ ἐκεῖνο διὰ διφθόγγου.

sch plut 627 (50) τὸ δὲ μιστύλλα διὰ τοῦ ι· οὐδὲν οὖν καινὸν, εἰ τὸ μὲν μεῖστον διὰ διφθόγγου γράφεται, τοῦτο δὲ διὰ τοῦ ι, ὅπου γε καὶ ἐπὶ τοῦ χερείων χείριστος, ἀρείων ἄριστος τοῦτο γέγονε. Junt. μεμιστυλλημένοι: Εὐωχηθέντες. P. τεθραμμένοι καὶ ζωμὸν ῥοφήσαντες ἐν τμήματι ἄρτου κοιλασθέντος ὥσπερ δοίδυκος. Θ. Dv. ἐπ᾽ ὀλιγίστοις ἀλφίτοις: Τοῖς κοίλοις γὰρ ἄρτοις τοὺς ζωμοὺς ἀρυόμενοι ταχέως κορέννυνται δι᾽ ἔνδειαν ἄρτων.

sch plut 628 ὀγδόῃ δὲ τὰ Θησεῖα ἦγον καὶ πᾶσαν τὴν ἡμέραν ἐπανηγύριζον εἰς τιμὴν τοῦ ἥρωος. πεποίηται δὲ ἡ λέξις, λέγω δὴ ἡ μυστίλη, παρὰ τὴν μάσησιν. ⟦ Ἄλλως. ἢ διὰ τὸ πλῆθος τῶν ὄψων ὀλίγον ἄρτον ἀνήλισκον· ἢ τῷ ζωμῷ σχολάζοντες καὶ ὑπὸ τούτου κορεννύμενοι. ⟧ —ὀλίγοις ἀλφίτοις: Ἄρτοις, βρώμασιν. P. ὡς: Λίαν.

sch plut 629 P. λίαν, ὄντως. Θ. Dv. ὡς: Ὅτι. πεπράγατε: Εὐτυχήσατε. P. μέτεστι: Μετουσία ἐστί.

sch plut 630 P. τί δ᾽ ἐστὶν, ὦ βέλτιστε, τῶν σαυτοῦ φίλων: [Ἀντὶ τοῦ περὶ τοὺς σαυτοῦ φίλους· οἷον τῶν ὁμομαστίγων.

sch plut 631 οἱονεὶ] οὐκ ἄλλων τινῶν, ἀλλὰ τῶν ὁμοίων σοι μαστιγιῶν. ⟦ ἢ τρόπων, οὕτως· ὦ βέλτιστε, τί τῶν σαυτοῦ τρόπων ἐστίν; ἀντὶ τοῦ, τί ἀγαθὸν ἡμῖν ἀγγέλλεις; εἰκὸς γάρ σε καλλίστοις χρώμενον τρόποις πρὸς τοὺς τρόπους καὶ τὰς ἀγγελίας ποιεῖσθαι. ⟧ —τῶν: Ἕνεκα. Paris. ἄγγελος: Μηνυτής.

sch plut 632 P. πέπραγεν εὐτυχέστατα: Εὐτυχὴς γέγονε.

sch plut 633 P. εὐδαιμονέστατα. Dv. ἐξωμμάτωται: ⟦ Ἐκ Φινέως Σοφοκλέους ὁ στίχος.

sch plut 635 ὅρα πῶς τοῖς σπουδαίοις γελοιώδη καταμίξας λανθάνει, εἰρηκὼς ἐξωμμάτωται καὶ λελάμπρυνται. ἡ δὲ λέξις ⟧ ἀντὶ τοῦ ἐπιτεταμένως ὁρᾷ· ἡ γὰρ ἐξ ἐπίτασιν δηλοῖ, ὡς τὸ [Hom. Il.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

I, 486] «ἐκ θυμοῦ φιλέων.» ἢ μᾶλλον παίζων ἐπὶ στερήσεως λέγει. —ἔπαιξεν εἰπὼν ἐξωμμάτωται. τὸ γὰρ ἐξωμματῶσθαι ἔστι τὸ ἀποβεβληκέναι, ἢ ἐπιτεταμένως ὁρᾶν. ἡ γὰρ ἐξ ἐπίτασιν δηλοῖ, ὡς τὸ «ἐκ θυμοῦ φιλέων.» V. Ἄλλως. δέον εἰπεῖν, ἀνέβλεψε καὶ καθαροὺς ἔσχε τοὺς ὀφθαλμοὺς, ἐξωμμάτωται εἶπε καὶ λελάμπρυνται· παίζων γὰρ ἐπαμφοτεριζούσας λέξεις ἔθηκεν· ἐξωμμάτωται γὰρ καὶ ἀντὶ τοῦ, ἐκκέκοπται τοὺς ὀφθαλμοὺς δύναται νοεῖσθαι, καὶ ἀντὶ τοῦ, ἐκ τῶν ὀφθαλμῶν ἀφῃρέθη τὸ κάλυμμα. ὁμοίως δὲ καὶ τὸ λελάμπρυνται καὶ ἀντὶ τοῦ, καθαροὺς ἔσχε τοὺς ὀφθαλμοὺς, καὶ ἀντὶ τοῦ, λεύκωμα ἐν αὐτοῖς ἔσχε. ἔχει δὲ τὸ λελάμπρυνται τρίτον πρόσωπον τῶν ἑνικῶν ὁμόφωνον τῷ τρίτῳ τῶν πληθυντικῶν ὡς τὸ ἐξήρανται, καὶ κατῄσχυνται, καὶ ὅσα τοιαῦτα. Junt. ἐξωμμάτωται: Ὠμματώθη, ἀνεῳγμένους ἔχει τοὺς ὀφθαλμούς. Θ. Dv. ὄμματα ἔλαβεν. λελάμπρυνται κόρας: Λαμπρὰς τὰς ὄψεις ἔσχε. P. λελάμπρυνται καὶ ἀντὶ τοῦ καθαρῶς ἔσχε καὶ ἀντὶ τοῦ λευκώματα ἐν αὐτοῖς ἔσχε. Θ. ⟦ Ἀσκληπιοῦ παιῶνος: Παιὰν μὲν ὕμνος ἐστὶν εἰς Ἀπόλλωνα ἐπὶ παύσει λοιμοῦ ᾀδόμενος, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου· πολλάκις δὲ καὶ προσδοκωμένου δεινοῦ· καὶ παιανίζειν ῥῆμα ἀπὸ τούτου τὸ παιᾶνα ᾄδειν· καὶ γίνεται ἀπὸ τοῦ παύω, παυὰν, καὶ παιάν.

sch plut 636 παιὼν δὲ, ὁ καὶ παιήων, ὁ ἰατρὸς καὶ θεραπευτὴς τῶν νοσημάτων· καὶ γίνεται ἐκ τοῦ παίω, τὸ θεραπεύω, παίων καὶ παιάων, ὡς Μαχάων, καὶ κατὰ τροπὴν τοῦ α εἰς η παιήων, καὶ αὖθις κατὰ συγκοπὴν παιών. Junt., Vict. παιῶνος: Ἰατροῦ. Dv. εὐμενοῦς: Συμπαθοῦς. P. ⟧ ἀντὶ τοῦ εὐμενεστάτου. ταῦτα δὲ ἐκ τοῦ Φινέως Σοφοκλέους ἔλαβεν. V. λέγεις μοι χαρὰν: ⟦ Τινὰ γελᾷ τῶν τραγικῶν.

sch plut 637 ⟧ ἀπαγγέλλεις μοι, φησὶ, χαρᾶς ἄξιον, ὥστε καὶ βοᾶν τῇ χαρᾷ νικώμενον. ⟦ λέγεις μοι χαρὰν: Τὸ συστημάτιον τοῦτο κώλων ἐστὶ δʹ. τὸ αʹ τρίμετρον βραχυκατάληκτον ἐξ ἀντισπάστου, ἐπιτρίτου δευτέρου καὶ δύο συλλαβῶν, ἡμίσεως ποδὸς οὐσῶν. τὸ βʹ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ τρίτον καὶ τέταρτον τρίμετρα καταληκτικὰ ἐκ παιώνων δύο καὶ συλλαβῶν τριῶν λειπουσῶν μιᾷ συλλαβῇ εἰς ἀναπλήρωσιν τελείου ποδός. Junt. λέγεις μοι χαίρειν. βοὰν: Ὑφ’ ἡδονῆς. P. ⟧ χαίρειν: Εὐφραίνεσθαι.

sch plut 638 Dv. ἤν τε βούλησθ’ ἤν τε μή: (ἀντὶ τοῦ) παντὶ τρόπῳ. R. V. ἀναβοάσομαι: Ἀνυμνήσω, φησὶ, τὸν Ἀσκληπιὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις.

sch plut 639 πολλοὶ γὰρ παῖδες τοῦ Ἀσκληπιοῦ, Ποδαλείριος, Μαχάων, Ἰασὼ, Πανάκεια, Ὑγίεια. ἀναπέπλασται δὲ τὰ ὀνόματα παρὰ τὸ ἰᾶσθαι καὶ πάντα ἀκεῖσθαι καὶ παρὰ τὸ ὑγίειαν παρέχειν. τὸν εὔπαιδα δὲ ἢ τὸν καλοὺς ἔχοντα παῖδας, (ἢ αὐτὸν καλὸν παῖδα). ⟦ ἐπαμφοτερίζει γὰρ τὰ τῆς χρήσεως ἐπί τε τοῦ καλοῦ παιδὸς καὶ τοῦ καλοὺς παῖδας ἔχοντος. ἢ τὸν καλοῦ πατρὸς παῖδα. ὁ δὲ νοῦς πέπαικται εἰς τραγῳδίαν· ὁ γὰρ χαρακτὴρ τραγικὸς, ὡς ἐν Ὀρέστῃ [984] «ἀναβοάσομαι πατρὶ Ταντάλῳ.» ⟧ ἀναβοάσομαι: Ἀνυμνήσω, θαυμάσω. Θ. ἀνυμνήσω. Dv. ἀνευφημήσω. τὸν εὔπαιδα: Τὸν καλοὺς παῖδας ἔχοντα. P. εὔπαιδα λέγει τὸν Ἀσκληπιὸν ὡς καλλίστους ἔχοντα παῖδας, Μαχάονα, Ποδαλείριον, Ἰασὼ καὶ Πανάκειαν. Dv. P. φέγγος δὲ ἀντὶ τοῦ τὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις.

sch plut 640 R. φέγγος: Σωτηρίαν. P., Vict. ⟦ τίς η βοή ποτ’ ἐστί: Κορωνὶς εἰσιόντων ὑποκριτῶν· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ρκθʹ· ὧν τελευταῖος ἐγὼ δ’ ἀπαντῆσαί γ’ ἐκείνοις βούλομαι.

sch plut 641 ἐπὶ τέλει ἑκάστου συστήματος παράγραφος· ἐπὶ δὲ τῷ τέλει πάντων τῶν στίχων κορωνὶς, καὶ ἑξῆς τὸ κομμάτιον τοῦ χοροῦ· κἀνταῦθα γὰρ χοροῦ τι μέρος ὤφειλε θεῖναι, καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων ἐκείνοις συμμίξειεν. ⟧ —ἀγγελεῖ: Μηνύει. Dv. χρηστόν τι: Εὐτυχές τι.

sch plut 642 τοῦτο: Τὸ ἀκοῦσαι ἀγγελίαν ἀγαθήν. P. ποθοῦς’: Ἀγαποῦσα. πάλαι: Πρὸ πολλοῦ. Dv. ἔνδον: Ἐντὸς τῆς οἰκίας.

sch plut 643

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιμένουσα: Ἐκδεχομένη τοῦτον τὸν θεράποντα. P. ἐκδεχομένη. Θ. τὸν θεράποντα. R. V. ταχέως, ταχέως φέρ' οἶνον: Ἡνίκα ἦν ἀπαγγελία, ἔθος ἦν πίνειν οἶνον.

sch plut 644 (διαβάλλει δὲ αὐτὴν ὡς φιλοῦσαν τὸν οἶνον.) —ταχέως: Συντόμως. Dv. καὐτὴ πίῃς: Καὶ ἐγώ.

sch plut 645 Θ. Dv. διαβάλλει ὡς μεθύσην. P. φιλεῖς: Ἀγαπᾷς ποιοῦσα. Dv. ἀντὶ, τούτου ἐστὶ τὰ ἀγαθά.

sch plut 646 R. συλλαβόμενος καὶ συλληπτικός. V. ὡς: Ὅτι. συλλήβδην: Ὁμοῦ συλλαβών. Θ. Dv. ὡς ἀγαθὰ: Ἴσθι ὅτι. συλλήβδην: Ὁμοῦ. P. ποῦ 'στιν: Τὰ ἀγαθὰ δηλ.

sch plut 647 Dv. P. ἐν τοῖς ...: Ἐν τοῖς ἐμοῖς λόγοις γνώσῃ ἴσως. P. εἴσει τάχα: Γνώσῃ ἴσως ἢ ταχέως. Θ. γνωρίσει ταχέως. Dv. γνώσῃ. V. πέραινε: Εἰς τέλος λέγε.

sch plut 648 Dv. τελειοῦ, πληροῦ. P. ἀνύσας: Σπεύσας, τελειώσας. Dv. προκατάστασις.

sch plut 649 Θ. ⟦ ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι: Τὸ μὲν φαινόμενόν ἐστι τοῦτο τὸ, ἐξ ἀρχῆς μέχρι τέλους ἐρῶ τὰ πράγματα· νοεῖται δὲ καὶ ἕτερόν τι πάνυ αἰσχρὸν καὶ ἄξιον τῆς τῶν δούλων ἀσελγείας καὶ μοχθηρίας. ἡ γυνὴ δὲ πράγματα τὰς ὀχλήσεις ἐνόησε, καὶ διὰ τοῦτο λέγει μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. ⟧ τοίνυν: Τὸ λοιπόν. P. ἀντὶ τοῦ ἀπ' ἀρχῆς μέχρι τέλους· ἢ παρὰ τὸ ἐς κεφαλήν σου, ὅπερ ἡ συνήθεια ἐπὶ τοῦ φαύλου λαμβάνει.

sch plut 650 R. V. ἐκ τῶν ποδῶν: Ἀπ' ἀρχῆς ἄχρι τέλους. Dv. ἀπ' ἀρχῆς μέχρι τέλους, ἐμφαντικόν. P. διὰ τὸ οἰηθῆναι διαπόμπησιν λελέχθαι.

sch plut 651 V. τὰ ἀγαθὰ εἰπὲ, μὴ μὲν οὖν τὰ πράγματα ἐρεῖς. Dv. ἐμοὶ: Ἐμοῦ. ἐς τὴν κεφαλὴν: Τὰ πράγματα ἐρεῖς δηλ. P. μὴ τἀγαθὰ: Οὐκ ἐρῶ. Dv. μὴ μὲν οὖν τὰ πράγματα: Σαφῶς νῦν τὰ πράγματα χαλεπὰ καὶ ἀνιαρά.

sch plut 652 ἀκριβῶς δὲ δεδήλωκεν ὅτι ἐπὶ κακῷ ἔλεγον τὰ πράγματα. ⟦ καὶ Μένανδρος δὲ ἐν Γεωργῷ «ἐν πράγμασιν, ἐν μάχαις.» ἐν ἤθει δὲ ἀναγνωστέον. ⟧ —νῦν: Πρὸ ὀλίγου. πράγματα: Τὰς ὀχλήσεις. P. διήγησις.

sch plut 653 Θ. ὡς: Ἐπειδή. P. ἀφικόμεθα: Ἐπορεύθημεν. Dv. πάλιν αὐτὸν ἄνδρα εἶπεν ὥσπερ καὶ ἐν τῇ ἀρχῇ.

sch plut 654 ἄθλιον δὲ διὰ τὸ τυφλὸν αὐτὸν εἶναι. εὐδαίμονα δὲ διὰ τὸ θεραπευθῆναι τοὺς ὀφθαλμούς. V. ἀθλιώτατον: διὰ τὴν τῶν ὀφθαλμῶν κάκωσιν. R. διὰ τὴν τύφλωσιν. Θ. Dv. διὰ τὴν πήρωσιν. P. νῦν δ', εἴ τιν' ἄλλον: Δέον, εἴπερ τις ἄλλος, εἰπεῖν, εἴπερ τιν' ἄλλον εἶπε πρὸς τὴν ὄπισθεν αἰτιατικήν.

sch plut 655 Junt. εἴ τιν' ἄλλον: Ἀντὶ τοῦ ὡς οὐδένα ἄλλον. P. μακάριον: Διὰ τὴν ἀνάβλεψιν. Θ. Dv. εὐδαίμονα: Εὐτυχῆ. Dv. διὰ τὸ ἀναβλέψαι. P. ἐπὶ θάλατταν ἤγομεν: Εἴθιστο γὰρ τοῖς ἀρχαίοις ἐκεῖ καθαίρειν τοὺς ἀφωσιωμένους, ὡς καὶ Ὅμηρος [Il.

sch plut 656 A, 314] «καὶ εἰς ἅλα λύματ' ἔβαλλον.» εἴθιστο τοῦτο ποιεῖν, ὡς ἔοικε, τοῖς ἐκεῖ ἀφικνουμένοις θεραπευθῆναι. Θ. ἔπειτ' ἐλοῦμεν: Ἀπὸ τοῦ λόω, ἢ ἀπὸ τοῦ ἐλούομεν κατὰ συγκοπήν.

sch plut 657 —Ἀττικὸν τὸ ἐλοῦμεν ἀντὶ τοῦ ἐλούομεν, καὶ κατὰ συγκοπὴν ἐλοῦμεν. Br. νὴ Δί' εὐδαίμων: Ἐν εἰρωνείᾳ, ἀντὶ τοῦ κακοδαίμων· (τὸ γὰρ εὖ ἀντὶ τοῦ δυς μορίου. τὸ δὲ ψυχρᾷ θαλάττῃ, διὰ τὸ τῆς οὐσίας ψυχρὸν τῶν γερόντων. τὸ δὲ ᾖμεν) ἀντὶ τοῦ ἐπορευόμεθα· διὸ μετὰ τοῦ ι. ἀπὸ γὰρ τοῦ εἴω. ᾖμεν: Ὑπήρχομεν.

sch plut 659 Dv. ᾖμεν: Ἐπορευόμεθα. P. C. (ἐπὶ δὲ βωμῷ: Ἀντὶ τοῦ, ὁσιωθείσης τῆς θυσίας καὶ τῶν ἀπαργμάτων ἐπὶ τῶν βωμῶν τεθέντων, ἅπτονται τοῦ βωμοῦ ἢ τοῦ κανοῦ καὶ ἐπιφθέγγονται ὅσια, καὶ τότε ἔξεστι τοῖς ἀπὸ τῆς θυσίας ἀδεῶς χρῆσθαι.

sch plut 660 καὶ προθύματα: Γράφεται καὶ θυλήματα. σημαίνει δὲ τὰ προκατάργματα, ἢ τὰ πρὸ τῆς θυσίας γινόμενα θυμιάματα, ἢ πλακούντια.) πόπανα: Γλυκύσματα. Dv. P. προχύματα: Τὰ καταχύματα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Dv. τὰ πρὸ τῆς θυσίας γινόμενα. P. ἃ πρὸ τῆς θυσίας ποιεῖν ἔθος. Θ. Vict. καθωσιώθη πέλανος: (Τοῖς καθήκουσι νόμοις ἀνιερώθη, καθηγνίσθη, ἢ ὁσίως ἀνετέθη.

sch plut 661 ) ἐπειδὴ δὲ ὁ πέλανος τῇ Ἡφαίστου φλογὶ καθωσιώθη καὶ τὰ πόπανα καὶ τὰ προθύματα. προθύματα δὲ ἤτοι τὰς ὀλύρας, παρὰ τὸ προθύεσθαι τῶν ἱερείων ἢ κριθὰς ἢ λιβανωτόν. τὸ δὲ ἑξῆς, ἐπεὶ δὲ βωμῷ προθύματα καθωσιώθη Ἡφαίστου φλογὶ, καὶ πόπανα καὶ πέλανος. ⟦ Ἄλλως. δέον εἰπεῖν, καὶ πέλανος, ὁ δὲ ἀσυνδέτως πέλανος εἶπεν. ἰστέον δὲ ὅτι τὸν μὲν πέλανον ἐν τῷ πυρὶ ἔρριπτον, τὰ δὲ πόπανα καὶ τοὺς πλακοῦντας καὶ τἄλλα ἐν μέρει τοῦ βωμοῦ ἐτίθεσαν. ἢ τὸ πέλανος ἑρμηνεία ἐστὶ τοῦ προθύματα, οὕτως, ἐπεὶ δὲ τῷ βωμῷ καθωσιώθη τὰ πόπανα, καὶ τὰ προθύματα καθωσιώθη τῇ φλογὶ τοῦ Ἡφαίστου, ὁ πέλανος λέγω· ὃ καὶ κρεῖττον. ⟧ — καθωσιώθη: Καθιερώθη. Dv. ἀνετέθη, ἀφιερώθη. Θ. P., Vict. πέλανος: Εἶδος ὀσπρίου. Θ. Dv. P. Ἡφαίστου: Πυρός. Dv. κατεκλίναμεν: ἡ κατά ἀντὶ τῆς ἀνά.

sch plut 662 οὕτως λέγουσιν Ἀττικοί. V. ἀντὶ τοῦ κατεθήκαμεν. Θ. εἰκὸς: Πρέπον. P. παρεκαττύετο: Ἐκ συλλογῆς ηὐτρεπίζετο ἀπὸ τῶν καττυμάτων.

sch plut 663 καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες οἱ ἐρριμμένοι ἐπὶ τῆς κόπρου. λέγει οὖν ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ηὐτρεπίζομεν. στιβάδα: Στρωμνὴν ἐκ σχοίνων πεποιημένην. Θ. τὴν ἐκ χόρτων στρωμνήν. Vict. στιβὰς ἡ ἐκ χόρτων στρωμνὴ, ἢ τοιοῦτό τι. καὶ γίνεται παρὰ τὸ στείβειν, ὅ ἐστι τὸ περιπατεῖν. στιβὰς γὰρ κυρίως ἡ πεπιλημένη καὶ οἷον καταπεπατημένη. Vict. τὸ παρεκαττύετο ἀντὶ τοῦ συνῆγε καὶ συνετίθη σχοινία, ἃ ἰδιωτικῶς φασι βροῦλα, ποιῆσαι εἰς στιβάδα στρωμνήν. Dv. συνετίθει. Θ. Br. ἐσωρεύετο. Dv. δεόμενοι: Χρῄζοντες.

sch plut 664 Dv. εἷς μέν γε Νεοκλείδης: (Καὶ εἰς πολλὰ κεκωμῴδηται οὗτος·) εἰς ῥήτορα καὶ τὰ δημόσια κλέπτοντα καὶ ξένον καὶ τὰς ὄψεις λελωβημένον.

sch plut 665 εἴρηται δὲ καὶ ἐν Πελαργοῖς περὶ αὐτοῦ ὅτι ῥήτωρ καὶ συκοφάντης ἐστίν. —ναί. εἷς μέν γε ... P. τυφλὸς: Ἀνόητος. Dv. κλέπτων: Δωροδοκῶν.

sch plut 666 τοὺς βλέποντας: Τοὺς φρονίμους. ὑπερηκόντισεν: Ὑπερέβαλεν. Dv. ὑπερέβη. P. ὑπερέβαλεν. ἀπὸ τῶν ἀκοντιζόντων. V. ὑπερέβαλεν, ἀπὸ μεταφορᾶς τῶν τὰ ἀκόντια ῥιπτόντων. Θ. Borg. παντοδαπὰ: Παντοῖα.

sch plut 667 Θ. παραγγέλλω δοτικῇ συντάσσεται.

sch plut 669 καθεύδειν: Ὑπνοῦν, ἢ κεῖσθαι ἡσύχως. Θ. κοιμᾶσθαι. P. πρόσπολος: Ὁ νεώκορος, δοῦλος.

sch plut 670 Θ. Dv. ὁ πρόσπολος: Ὁ ἱερεύς. V. P. αἴσθηται: Εἰς αἴσθησιν ἤσθιον. Dv. συντάσσεται τὸ αἰσθάνομαι καὶ γενικῇ καὶ αἰτιατικῇ. Θ. νοήσῃ κτύπου. P. κοσμίως: Εὐτάκτως.

sch plut 671 Dv. εὐτάκτως καὶ ἡσύχως. Θ. P., Vict. ἀθάρης χύτρα τις: ⟦ Ἀθάρα, μόνη ἡ σεμίδαλις.

sch plut 673 ⟧ (Ἀττικοὶ δὲ διὰ τοῦ η ἀθάρης, [Αἰολεῖς ἀθήρας,] ἡ δὲ κοινὴ διὰ τοῦ α ἀθάρας. ἔστι δὲ ἄλευρον ἡψημένον.) —Ἀττικοὶ ἀθάρας, Αἰολεῖς ἀθήρας. λέγει δὲ τὴν σεμίδαλιν. R. ἀθάρας: Ἤγουν κουρκούτης. ἀθάρα λέγεται ἡ ἰδιωτικῶς λεγομένη κουρκούτη· ἤγαγε δὲ αὐτὴν γραῦς τις τῷ Ἀσκληπιῷ· εἰκότως· αἱ γὰρ γραῖαι τοὺς ὀδόντας ἀποβαλοῦσαι οὐκ ἄλλο τι ἢ ἀθάραν ἐσθίουσιν· τοιοῦτον ἐχρῆν καὶ δῶρον αὐτὰς προσφέρειν τῷ θεῷ. Dv. C. D. ἀθάρα ... εἰκότως. καὶ γὰρ αἱ γραῖαι τοὺς ὀδόντας ἀποβάλλουσαι ὡς ἐπιτοπλεῖστον τῇ ἀθάρᾳ χρῶνται εἰς βρῶσιν, καὶ διὰ τοῦτο καὶ τῷ Ἀσκληπιῷ τὴν ἀθάραν δῶρον ἀνετίθουν. Vict. ἀθάρης: Σεμιδάλεως. P. ἐξέπληττε· Ἐτάραττεν. Dv. ἐνέβαλεν. P. εἰς ἔμπληξιν ἔφερε καὶ θαῦμα. Θ. εἰς ἔκπληξιν καὶ θάμβος ἔφερεν. Vict. ἐφ’ ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι: ⟦ Περισσὴ ἡ μία ἐπί.

sch plut 675 ὡς εἷς τῶν ἱερῶν ὄφεων δηλονότι. ⟧ ἐφερπύσαι δὲ, βαδίσαι. ἀπὸ μεταφορᾶς τῶν ἑρπετῶν. ἐκ τούτου δὲ τὴν ἥσυχον κλοπὴν τὴν ἐπὶ τὴν χύτραν δηλοῖ. —δαιμονίως: Ἐπιτηδείως. Dv. δεξιῶς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιτηδείως. Θ. Ρ. ἐφερπύσαι: Βαδίσαι. Ρ. τοὺς φθοῖς: Ἀττικοὶ μὲν μονοσυλλάβως οἱ φθοῖς· ὁ δὲ Καλλίμαχος φθοΐας ἀντὶ τοῦ πλακοῦντας, πέμματα.

sch plut 677 —οὕτως μονοσυλλάβως σύνηθες αὐτοῖς λέγειν. Καλλίμαχος «ὅδ’ αὖθις παρὰ φθοΐας», ὡς μάντιας. ἔστι δὲ πλακοῦντας ἢ πέμματα. V. τοὺς φθοῖς: Τοὺς πλακοῦντας. Θ. Dv. πλακοῦντας, ἢ λαλάγγια. Ρ. τὰς ἰσχάδας: Τὰ σῦκα. Θ. Dv. ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς: Εἰσὶ γὰρ τράπεζαι ἐν τοῖς ἱεροῖς, ἐν αἷς τιθέασι τὰ εἰσφερόμενα.

sch plut 679 περιῆλθε: Περιέδραμε. ἐν κύκλῳ: Ψηλαφῶν δηλ. καὶ ἐρευνῶν. Ρ. καταλελειμμένον: Ἐγκαταλειφθέν.

sch plut 680 Dv. ἐναπολειφθέν. Ρ. εἰς σάκταν τινά: (Γράφεται καὶ εἰς σάκκον, οἷον εἰς θύλακον, ἀπὸ τοῦ σάττεσθαι.

sch plut 681 δέον δὲ εἰπεῖν εἰς τὸν βωμὸν ἥγιζε, φησὶν εἰς τὸν σάκκον. ἥγιζε δὲ ἀντὶ τοῦ ἔβαλλεν εἰς δερμάτινον σακκίον, ὅπερ θύλακον λέγομεν. τινὲς δὲ ἀντὶ τοῦ ἁγίως ἀπετίθετο. παίζει δὲ τοῦτο ὡς ἐπὶ ἱερέων.) ἀρσενικῶς δὲ ὁ σάκτας, ὡς αἱ χρήσεις διδάσκουσιν. —σημαίνει δὲ τὸν θύλακον. R. ⟦ ἥγιζεν: Τὸ ἥγιζε γελοιωδῶς εἴρηκεν ἀπὸ τοῦ ἡγίαζε κατὰ συγκοπήν. σημαίνει δὲ ἡ λέξις παρὰ τοῖς παλαιοῖς μὴ μόνον τὸ καθαίρειν, ἀλλὰ καὶ τὸ μιαίνειν· καὶ τὸ ἅγιος δ’ ὡσαύτως οὐ μόνον τὸν καθαρὸν, ἀλλὰ καὶ τὸν μιαρὸν καὶ ἐναγῆ καὶ ἐξάγιστον· καὶ ἁγιστεία ὡσαύτως· λέγεται οὖν ἐνταῦθα τῷ μὲν δοκεῖν, ὅτι εἰς σάκκον τινὰ ἱερῶς ἐτίθει, τῇ δὲ ἀληθείᾳ, ὅτι εἰς ἄγγος τι ἔβενον αὐτὰ πρὸς ἑαυτὸν ἐλάμβανεν. Vict. ἥγιζεν: Σεβασμίως ἐνετίθει. Θ. σεβασμίως ἦγεν. Dv. ἐτίθει, ὡς ἅγια ἐνέβαλεν. C. ἱερῶς ἐπετίθει. Ρ. σάκταν: Σάκκον. τοῦτο κατ’ εἰρωνείαν. Θ. Dv. σάκκον. Ρ. κἀγὼ νομίσας πολλὴν ὁσίαν: Ἀντὶ τοῦ ὁσιότητα.

sch plut 682 δόξας, φησὶν, ὅσιον εἶναι τὸ λαμβάνειν τι ἀπὸ τῶν ἐν τῷ ἱερῷ, ἐπεὶ καὶ ὁ ἱερεὺς ἐλάμβανεν. (Σύμμαχος δέ φησιν ὅσια λέγειν αὐτοὺς τὰ μὴ ἱερὰ, ἀλλ’ ὧν ἔξεστι θιγγάνειν.) —νομίσας: Ὑπολαβών. ὅσιον τὸ λαμβάνειν ἀπὸ τῶν ἐν τῷ ἱερῷ, καθότι καὶ ὁ ἱερεὺς ἐλάμβανεν. Θ. Ρ. ὁσίαν: Ἁγιότητα. Dv. πολλὴν ὁσίαν τοῦ πράγματος: Κατὰ πολὺ ὅσιον δηλαδὴ τὸ λαμβάνειν τι τῶν ἱερῶν. Br. δικαιοσύνην. Θ. χύτραν: Τὸ τζυκάλιον.

sch plut 683 Dv. ἀνίσταμαι: Διεγείρομαι. Ρ. ταλάντατ’: Ἀθλιώτατε.

sch plut 684 Θ. οὐκ ἐδεδοίκεις: Οὐκ ἐφοβήθης. Ρ. μὴ φθάσειέ με: ⟦ Βαδίσας ἐπὶ τὸν βωμὸν δηλονότι.

sch plut 685 ⟧ διαβάλλει τὸν θεὸν ὡς κλέπτην. ἐφοβήθην οὖν μὴ ἐλθὼν καὶ αὐτὸς κλέψαι φθάσειέ με ἐπὶ τὴν χύτραν. ⟦ Ἄλλως. πάνυ καλὸν καὶ σεβάσμιον τὸ πρᾶγμα, ὃ ἐκεῖνος ἐποίει, ἡγησάμενος, καὶ οὐκ ἀσεβὲς κρίνας ἀνέστην καὶ αὐτὸς ἐπὶ τὴν χύτραν τῆς ἀθάρας. ἐν τούτῳ δὲ δεικνύει, ὡς ἀεὶ οἱ δοῦλοι περὶ τὸ φαγεῖν τὸν νοῦν ἔχουσιν. τὸ δὲ ἔχων τὰ στέμματα λέγει διὰ τὸ γράφειν τὸν Ἀσκληπιὸν ἀεὶ στεφανηφοροῦντα, ὡς ὑγιείας αἴτιον (καὶ ἆθλον τούτω παρέχειν τὴν ὑγίειαν λαβόντα τοὺς στεφάνους. Dv. Ρ.) . ⟧ —ἔγωγε: Ἐδεδοίκειν δηλαδή. Dv. Ρ. ἐδεδοίκειν τὸν θεόν. δηλονότι καταλάβοι. Θ. τὸ ἔγωγε καὶ μάλιστα οἱ Ἀττικοὶ ἀντὶ τοῦ ναὶ λαμβάνουσιν. Ρ. φθάσεις: Προλάβῃ. Ρ. ἐλθὼν: Ὁ Ἀσκληπιὸς φορῶν.

sch plut 686 Ρ. ἔχων: Φορῶν. Dv. στεφανηφόρος γὰρ ὁ Ἀσκληπιὸς ἀεὶ στενάζων. ὑγείας γάρ ἐστιν ἔφορος. V. στέμματα: Ὡς ὑγιείας ἔφορος στεφανηφόρος. Ρ. ὁ γὰρ ἱερεὺς: τοῦ Ἀσκληπιοῦ ὁ ἱερεὺς ἐπὶ τοὺς βωμοὺς δηλονότι βαδίσας προεδίδαξέ με.

sch plut 687 V. ἤγουν τὸ προφθάσαι δηλ. καὶ λαβεῖν τὰ πέμματα. Θ. Ρ. ᾔσθετο: Ἔγνω.

sch plut 688 Ρ. τὸ αἰσθάνεσθαι πρότερον πρὸς γενικὴν συντάξας, νῦν πρὸς αἰτιατικὴν ἀπέδωκεν. Vict. ψόφον: Κτύπον. Dv. ἀντὶ τοῦ ψόφου. R. V. τὴν χεῖρ’ ὑφῄρει: (Ἐκτείνει κατὰ τῆς χύτρας, ἵνα μηδεὶς αὐτὴν λάβῃ· [ἢ ἐξέτεινε.

sch plut 689

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ] Μένανδρος «ἐξάραντες ἐπικροτήσατε.») συρίξας δὲ οὕτω μόνως φασὶν Ἀττικοὶ καὶ συρίκτης καὶ σύριγμα καὶ οὐ συρίσας. ἀκόλουθον δὲ τῷ ἐφερπύσαι τὸ συρίξαι. ἕκαστον γὰρ τῶν ζῴων ἰδίαν φωνὴν ἔχει, ὡς αἲξ τὸ μηκάζειν, βοῦς τὸ μυκᾶσθαι, κορώνη τὸ κρώζειν, καὶ τἄλλα ὁμοίως· οὕτω καὶ ὁ ὄφις τὸ συρίζειν. —ὑφῄρει δὲ ἀντὶ τοῦ ἐκτείνει. V. τὴν χεῖρ' ὑφῄρει: Ἐν ᾗ τὴν χύτραν κατεῖχεν λάθρα. Θ. Dv. κατεῖχε λάθρα. Dv. τὴν χεῖρ' ἀφῄρει: Λάθρα ἐκίνει. C. λαθραίως ἐξέτεινε. συρίξας: Συριγμόν τινα ποιήσας. P. (ὀδὰξ ἐλαβόμην: Τοῖς ὀδοῦσιν αὐτὴν ἔλαβον, οἷον ἔδακον αὐτήν.

sch plut 690 ) ὡς παρείας ὢν ὄφις: Εἶδος ὄφεως. εἴρηται δὲ παρὰ τὸ ἐπῆρθαι τὰς παρειάς. φασὶ δὲ αὐτὸν μὴ δάκνειν, ἢ καὶ δάκνοντα (μὴ) λυπεῖν. μέμνηται δὲ αὐτοῦ καὶ Δημοσθένης [p. 313, 25] «τοὺς ὄφεις τοὺς παρείας» φάσκων, (καὶ Λυκοῦργος ἐν τῷ κατὰ Δημάδου λόγῳ. ἔστι δὲ τὸ τοιοῦτον εἶδος καὶ ἐν τῇ Ἀλεξανδρείᾳ). τὸ δὲ τοιοῦτον εἶδος εὑρίσκεται ἐν τοῖς ἱεροῖς (τοῦ Διονύσου). —ὀδὰξ: Ἤτοι τοῖς ὀδοῦσιν. P. μετὰ τῶν ὀδόντων ἡψάμην. Θ. ἐλαβόμην: Ἡψάμην. Dv. τῆς χειρὸς τῆς γραίας. P. παρείας: Μέγας. Dv. οἱ γὰρ συρίζοντες ὄφεις μεγάλας ἔχουσι παρειάς. Θ. εἶδος ὄφεως ἀπὸ τοῦ ἐπαίρειν. P. ἡ δ': Ἡ γραῦς.

sch plut 691 ἀνέσπασεν: Εἰς ἑαυτὴν συνέστειλεν. Dv. συνέστειλεν εἰς ἑαυτὴν ἀφεῖσα τὴν χεῖρα. P., Vict. δέους: Φόβου.

sch plut 693 Dv. P. βδέουσα: Πέρδουσα. Θ. Dv. πέρδουσα. ὅθεν καὶ τὸ βδελυρὸς καὶ τὸ βδελύττομαι. P. γαλῆς: ἡ γὰρ γαλῆ δριμύτατον ἀφίησι τὸ πνεῦμα. R. V. κάττας. Θ. Dv. γαλῆ ἡ κάτα, μυγαλὴ ἡ νυμφίτζα. P. πάνυ γὰρ δύσοσμός ἐστιν ἡ τῆς γαλῆς πορδή. Θ. Victor. ἔφλων: Ἀντὶ τοῦ ἤσθιον, ἐμασώμην.

sch plut 694 λείπει δὲ τροφήν. φλᾶν δὲ νῦν τὸ μετὰ ψόφου ἐσθίειν. ⟦ καὶ γὰρ φλᾶν τὸ θλᾶν, ὡς [Hom. Il. A, 268] «φηρσὶν ὀρεσκώοισιν.» ⟧ πολλὴν: Μερίδα δηλ. P. ἔφλων: Ἀνήλισκον, συνέτριβον. Θ. Dv. P. Vict. μεστὸς: Πλήρης τῆς ἀθάρας.

sch plut 695 Θ. Dv. ἔμπλεος ἢ κεκορεσμένος. P. (ὁ δὲ θεὸς ὑμῖν οὐ προσῄειν: Ἀντὶ τοῦ προσέσχε.

sch plut 696 Ἰωνικῶς, ὡς καὶ παρ' Ὁμήρῳ [Hom. Il. Γ, 388] «ἤσκειν εἴρια καλά.» ἀντὶ τοῦ ἤσκεε· τρίτου γάρ ἐστι προσώπου.) —οὐ προσῄειν: Οὐκ ἔγνω. Dv. οὐ προσῆλθεν. Θ. P. τὸ προσῄειν ἐνταῦθα τρίτου προσώπου διὰ τὴν χασμωδίαν προσλαβὸν τὸ ν, ὡς κἀν τοῖς ἄλλοις ἔθος ἔχουσι ποιεῖν οἱ Ἀττικοί. Vict. οὐδέπω: Οὔπω ἦν ἐλθών. P. τοῦτο: Τὸ φαγεῖν.

sch plut 697 P. γελοῖον: Ἀστεῖον. Dv. προσιόντος: Προσερχομένου.

sch plut 698 Dv. ἀπέπαρδον: Διὰ τὴν ἀθρόαν τῶν πνευμάτων ἐκπήδησιν.

sch plut 699 ὅθεν καὶ πάρδος· ὁρμητικὸν γὰρ τὸ ζῷον. ἐπεφύσητό μου: Ὑπὸ τῆς ἀθάρης δηλονότι. ποιεῖ γὰρ αὕτη πνεύματα τῇ γαστρί. —ἐξώγκωτο ἐμπνευματωθεῖσα. φυσώδη γὰρ τὰ ὄσπρια. Θ. ἤγουν ἐξώγκωτο (ἐπνευματώθη add. Vict.) D. δυσώδη γὰρ τὰ ὄσπρια, ὑπὸ τῆς ἀθάρας. P. ἐβδελύττετο: (Ἐμίσει σε.

sch plut 700 ) χαριέντως τὸ ἐβδελύττετο πρὸς τὸ ἀπέπαρδον, ὡς παρὰ τὸ βδέειν. ἕπεται γὰρ τῷ βδέειν τὸ βδελύττεσθαι. P. ἦπου: Ὄντως. P. ἐβδελύττετο: ἐμίσει. Dv. P. οὒκ: Ἐβδελύττετο.

sch plut 701 P. (ἀλλ' Ἰασὼ μέν τις: Οὐκ ἐῴκει. διότι προσῆκε τῷ Ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη. ἀλλὰ καὶ θυγατέρα τοῦ Ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἐκείνοις ἀλλ' ὦ θύγατερ ἔλεξ', Ἰασοῖ, πρευμενής. εἰ δὲ καὶ τὴν Ἰασὼ Ἀσκληπιοῦ θυγατέρα, ὥσπερ καὶ τοῦ Ἀμφιαράου, ἄξιον ἀπορεῖν· ἐπεὶ καὶ Ἕρμιππος ἐν τῷ [πρώτῳ] ἰάμβῳ τῶν τριμέτρων Ἀσκληπιοῦ καὶ Λαμπετίας τῆς Ἡλίου λέγει Μαχάονα καὶ Ποδαλείριον καὶ Ἰασὼ καὶ Πανάκειαν καὶ Αἴγλην νεωτάτην. ἔνιοι δὲ προστιθέασιν Ἰανίσκον καὶ Ἀλεξήνορα. ἔστι δὲ καὶ Ἀμφιαράου θυγάτηρ Ἰασώ. —Πανάκεια δὲ παρὰ τὸ ἄκος, τὴν θεραπείαν. Ἄλλως.) παρὰ τὸ ἰᾶσθαι τὴν Ἰασὼ πεποίηκε

θυγατέρα Ἀσκληπιοῦ, καθάπερ καὶ τὴν Πανάκειαν καὶ τὴν Ὑγίειαν. R. V. ἐπακολουθοῦς’: Τῷ Ἀσκληπιῷ δηλονότι. Θ. ὑπηρυθρίασε: Μετρίως πῶς ἐτράπη καὶ ᾐδέσθη.

sch plut 702 Θ. P. ἀπεστράφη: Εἰς τοὐπίσω. Dv. οὐ λιβανωτὸν γὰρ βδέω: Ἄλλο λίβανος καὶ ἄλλο λιβανωτός· λίβανος μὲν [γὰρ] αὐτὸ τὸ δένδρον, λιβανωτὸς δὲ ὁ καρπὸς αὐτοῦ.

sch plut 703 ⟦ ἔστι δὲ καὶ ὄρος Λίβανος καλούμενον. ⟧ —ἐπιλαβοῦς’: Κρατήσασα. P. λιβανωτὸν: Εὐῶδες ὥσπερ ὁ λίβανος πέρδω. Θ. Dv. ἤτοι μεμυρισμένον πέρδω. P. αὐτὸς δ’ ἐκεῖνος: ὁ Ἀσκληπιός.

sch plut 704 R. τῆς ῥινὸς οὐκ ἐπελάβετο δηλ. οὐδ’ ἐφρόντισεν: Οὐκ ᾔσθετο. P. ἤγουν οὐ μόνον οὐδὲν τοιοῦτον ἐποίησεν. Θ. ἄγροικον: Ἀναίσθητον.

sch plut 705 Θ. Dv. ἀπαίδευτον. P. τὸν θεὸν: Τὸν Ἀσκληπιόν. Dv. ἀλλὰ σκατοφάγον: Ἀναίσθητον.

sch plut 706 εἴρηται δὲ ἀπὸ τῶν παρὰ Βοιωτοῖς βοῶν, οἳ διὰ τὴν πολλὴν ἀναισθησίαν σκατὰ ἤσθιον. ἑτερόκλιτος δέ ἐστιν ἡ σκατὸς γενικὴ, ἀπὸ εὐθείας τῆς σκώρ. —οὐκ ἔγωγε: Οὐ λέγω ἐκεῖνον ἀναίσθητον. σκατοφάγον: Ἀναίσθητον. Θ. P. αἲ τάλαν: Διότι τοιαῦτα λέγεις. Dv. ἐπίρρημα σχετλιαστικόν. R. V. P. τὸ σκατοφάγον λέγει, ἢ διότι οἱ ἰατροὶ ἐκ τοῦ τὰ σωμάτων κενώματα βλέπειν καὶ οὖρα τοὺς μισθοὺς λαμβάνουσιν. ἢ ὅτι ὁ τῆς ἰατρικῆς ἡγεμὼν Ἱπποκράτης ἀνθρωπίνων κόπρων, ὥς φασιν, ἐγεύσατο, βουλόμενος περί τινος νοσοῦντος μαθεῖν, ἢ ἆρα ζήσεται ἢ τεθνήξεται. P. τὸ σκατοφάγον λέγει ἢ διότι οἱ ἰατροὶ ἐκ τοῦ σκοπεῖν τὰ τῶν ἀσθενούντων οὖρα καὶ σκύβαλα τοὺς μισθοὺς λαμβάνουσιν, ἢ ὅτι ὁ τῆς ἰατρικῆς ἡγεμὼν Ἱπποκράτης ἀνθρωπίνων κόπρων ἐγεύετο, ὥς φασι, βουλόμενος μανθάνειν περὶ τῶν νοσούντων, εἰ ἄρα ζήσονται ἢ τεθνήξονται. Vict. συνεκαλυψάμην: Ἐκρύβην εἴσω τῶν ἱματίων.

sch plut 707 Θ. Paris. δείσας: Φοβηθείς.

sch plut 708 Dv. P. σκοπῶν: Ἐπιτηρῶν.

sch plut 709 P. περιῄειν (–ει P. ): περιήρχετο. Dv. P. Ἰακῶς τὸ περιῄειν. V. ὅμοιον τῷ προσῄειν. κοσμίως: Εὐτάκτως. Θ. παῖς: Δοῦλός τις.

sch plut 710 P. Dv. θυίδιον: Ἴγδιον λίθινον. Θ. ἰγδίον. Dv. θυείδιον: Ἤτοι ἰγδύον. P. ἰγδίον. παῖς ὁ υἱὸς ἀπὸ τοῦ παῒς τὸ αἰδοῖον καὶ κατὰ συναίρεσιν παῖς. παῖς δὲ ὁ δοῦλος ἀπὸ τοῦ παίω τὸ τύπτω. Borg. παρέθηκε: Πλησίον αὐτοῦ ἔθηκε.

sch plut 711 P. δοίδυκα: Κοχλιάριον. Dv. κοχλυάριον. P. κιβώτιον: Ὃν ἰατροὶ καλοῦσι παντέκτην. Θ. σενδούκι, ὃ λέγουσιν οἱ ἰατροὶ παντέκτην. Dv. σενδούκην. P. οὐ δῆτ’ οὐχὶ τό γε κιβώτιον: [Παίζων πρὸς τὸ πρῶτον ἀπήντησεν, οὐχὶ τὸ κιβώτιον.

sch plut 712 ] εἰπὼν ὅτι τὸ κιβώτιον λίθινον ἦν, ὥσπερ ἑαυτοῦ τὴν λήθην ἐπανορθούμενός φησι, μὰ Δί’ οὐκ ἦν λίθινον τὸ κιβώτιον. —μὰ Δί’ οὐ δῆτ’: Λίθινον ἦν, ἀλλ’ ἡ θυεία. P. ἑώρας: Ἔβλεπες.

sch plut 713 P. διὰ τοῦ τριβωνίου: Νῦν τοῦ παλαιοῦ καὶ τετριμμένου ἱματίου· ⟦ τὸ γὰρ τρίβακον ἱμάτιον οὕτω καλοῦσιν Ἀττικοί.

sch plut 714 ⟧ ὀπὰς δὲ τὰς τρώγλας· ἔνθεν καὶ ὦπες οἱ ὀφθαλμοί· ἀνοίγματα γάρ ἐστι. —τριβώνιον ἐνταῦθα τὸ παλαιὸν καὶ διερρυηκὸς ἱμάτιον. τριβώνιον καὶ τὸ τῶν φιλοσόφων ἱμάτιον, ὡς εὐτελείας ἀντιποιουμένων. ὅθεν καὶ τὸ περίβλημα αὐτῶν εὐτελές. ἦν δὲ τὸ τοιοῦτον τριβώνιον μέχρι τῶν ποδῶν διῆκον, καὶ χειρίδας ἔχον πλατείας, καὶ κεκολπωμένον. P. καὶ κεκαλυμμένος εἶναι λέγεις. Dv. ἐγκεκαλύφθαι: Ἐγκεκρύφθαι. τριβωνίου: Ἔβλεπον δηλ. P. ὀπὰς: Τρύπας.

sch plut 715 Dv. P. οὐκ ὀλίγας: Ἀλλὰ πολλὰς δηλ. P. Νεοκλείδῃ: τοῦτον, ὡς ἔφαμεν, διαβάλλει ὡς ἅρπαγα τῶν δημοσίων.

sch plut 716 V. οὗτος ἅρπαξ τῶν δημοσίων. Paris. καταπλαστὸν: Τῶν φαρμάκων τὰ μὲν καταπλαστὰ, τὰ δὲ χριστὰ, τὰ δὲ ποτά.

sch plut 717

(κυρίως δὲ ὀξυτόνως τοῦτο γράφουσι,) τινὲς δὲ προπαροξύνουσι, κατάπλαστος. ⟦ ἔστιν οὖν παστὸν τὸ πασσόμενον, πλαστὸν τὸ πλαττόμενον, ὃ καὶ καταπλαστὸν λέγεται, καὶ πιστὸν τὸ πινόμενον. ⟧ ⟦ ἐνεχείρησεν: Οἱ γράφοντες, ἐνεχείρισε τρίβειν, διὰ τοῦ ι, ἀμαθεῖς· οὐ γὰρ ἐμφανῶς ἐθεράπευεν ὁ Ἀσκληπιὸς, ἵνα καὶ τῷ Νεοκλείδῃ ἐγχειρίσαι αὐτὸν λέγωμεν τρίβειν τὸ φάρμακον, ἀλλ' ἀφανῶς κατὰ τὴν νύκτα. ἔχει δὲ οὕτως, ἐνεχείρησε πρῶτον πάντων τρίβειν τῷ Νεοκλείδῃ φάρμακον καταπλαστόν· καὶ ἔστιν ἡ δοτικὴ αὕτη πρὸς τὸ τρίβειν περιποιητικῶς. ἡ γὰρ τρίψις ἐκείνῳ ἦν, τουτέστι, δι' ἐκεῖνον ἐγίνετο. ⟧ —ἐνεχείρησε: Ἤρξατο. P. τρεῖς Τηνίων: ⟦ Ὅτι ἐν τῇ Τήνῳ μιᾷ τῶν Κυκλάδων νήσῳ ὄφεις καὶ σκορπίοι δεινοὶ ἐγίνοντο· ἢ ὅτι ἡ Τῆνος δριμύτατα σκόροδα φέρει.

sch plut 718 ⟧ δηκτικῶν. R. ὅτι ἡ Τῆνος, (νῆσος μία τῶν Κυκλάδων,) θηριώδης δοκεῖ εἶναι. (σκόροδα οὖν Τήνια εἶπεν ἀντὶ τοῦ δηκτικὰ, παρὰ τὰ θηρία.) δηλοῖ καὶ Εὔπολις Πόλεσι «Τῆνος αὕτη, πολλοὺς ἔχουσα σκορπίους (ἔχεις τε συκοφάντας).» Καλλίστρατος δὲ ἐπὶ τὸ σαφὲς κατηνέχθη, ὡς σκοροδοφόρου τῆς γῆς οὔσης· (διὸ καὶ τὸ παρ' Ἀντιμάχῳ «Τήνου τ' ὀφιοέσσης» οὐ καλῶς ἔχειν δοκεῖ.) —σκορόδων: Σκόρδων. Dv. Τῆνος νῆσος ἐν ᾗ δριμύτατα γίνεται σκόροδα. Θ. Τῆνος νῆσος σκοροδοφόρος ἀπό τινος Τήνου ἀνδρός. P. ἔφλα δὲ ἀντὶ τοῦ ἔτριβεν ἢ ἤλει. V. ἔφλα: Συνέτριβε. Dv. ἔτριβε. P. ὀπὸν: Γάλα σκύλης.

sch plut 719 Dv. γάλα σκίλλης, ἥτις βοτάνη ἐστὶ θανατηφόρος, ἐξ ἧς τὸ σκιλλητικὸν ὄξος. Θ. P. (καὶ σχῖνον: Σχῖνον νῦν φησι τὴν σκίλλαν· δηκτικὰ γὰρ βούλεται πάντα εἶναι.

sch plut 720 ἐν δὲ τοῖς ἑξῆς παράκειται καὶ ἐκ τῶν Θεοφράστου, ὅτι ἕτερόν τι ἡ σκίλλα καὶ ἡ σχῖνος. παρὰ τὸ σχίζεσθαι καὶ δακρύειν· ἡ αὐτὴ γὰρ τῇ μαστίχῃ.) —σχίνον: ἀντὶ τοῦ μαστίχην. R. τὰ ἄκρα τῆς σκίλλας ἢ μαστίχην. Θ. τὰ ἄκρα τῆς σκύλας. Dv. σχῖνον: Ἤγουν σκίλλαν. P. σχῖνος τὸ δένδρον, ι. σχοῖνος δὲ τὸ βρύλον, δίφθογγον ο καὶ ι. P. ὄξει διέμενος: Διαβρέχων καὶ διυγραίνων, ὃ νῦν ἐγχυματίζειν φασί. (Σφηττίῳ δὲ) τῷ δριμυτάτῳ ἢ ἀπὸ τοῦ δήμου· πικροὶ γὰρ οἱ Σφήττιοι καὶ συκοφάνται. ἢ παρὰ τοὺς σφῆκας· θυμικοὶ γάρ. (ἢ ὅτι δριμὺ ὄξος παρὰ Σφηττίοις ἐγίνετο.) — βρέχων ὄξος δριμύ. Dv. βρέξας ἐν. P. Σφηττὸς τόπος ἐν Ἀθήναις, ὅθεν καὶ Σφηττοῖ ἐπίρρημα, καὶ ὁ πολίτης Σφήττιος· Σφήττιος οἶνος καὶ Σφήττιον ὄξος. ὡς ἔοικε δὲ, δριμύτατον ὄξος Σφηττοῖ ἐγίνετο. P. βρέχων. Σφῆττος τόπος, ἔνθα δριμὺ ὄξος γίνεται. Θ. κατέπλασσεν: Τοῦτο τὸ φάρμακον.

sch plut 721 Θ. P. ἐκστρέψας: Ἐξεστραμμένα ποιήσας. P. ἀναστρέψας. Dv. ὀδυνῷτο: Λυπεῖτο, ἀλγεῖ.

sch plut 722 Dv. ὀδύνην ἔχει περισσότερον. P. οὐ τοσαύτη γὰρ ἂν ἦν ἡ ὀδύνη, εἰ ἐπάνω ἔπλαττεν. Θ. ἀναΐξας: Ὁρμήσας.

sch plut 723 Θ. Dv. P. θεὸς: ὁ Ἀσκληπιός. V. ἵν' ἐπομνύμενον: Ἀντὶ τοῦ ἐκκαλούμενον.

sch plut 725* ἐπωμοσία δέ ἐστιν, ἣν ἐπιδίδωσιν ὁ βουλόμενος ἀντειπεῖν ψηφίσματι εἰσφερομένῳ. ἐκκαλοῦνται δὲ εἰς τὸ δικαστήριον πολλάκις. Σαλούστιος δέ φησιν ὡς μέλλοντες εἴς τινα δημοτικὴν ἀποστέλλεσθαι χρείαν παρὰ τοῦ δήμου, πολλάκις ἐπώμνυντο μὴ δύνασθαι αὐτὸ ποιεῖν, ἵνα συκοφαντῶσιν οἴκοι μένοντες. Ἄλλως. ἐπωμοσία ἐστὶν ἀπόδοσις αἰτίας, δι' ἣν οὐχ ὑπαντᾷ τις πρὸς τὴν δίκην. Ὑπερίδης «καὶ ἐμοὶ μὲν συμβάσης «ἀρρωστίας, καὶ ὑπομοσθείσης ταύτης τῆς γραφῆς, «ἀνεβλήθη ὁ ἀγών.» οὕτως ὁ Τήλεφος. ἐπωμοσία ἐστὶν ὄνομα δίκης, καθ' ἣν οἱ μέλλοντες ἡττᾶσθαι, νοσεῖν προφασιζόμενοι, τὴν κυρίαν ἀνεβάλλοντο καὶ πάλιν ἐξ ἀρχῆς ἐδικάζοντο. τινὲς δὲ ἐπομνύμενόν φασι τὸ ὀμόσαι μὴ δικάσασθαι καὶ παραβάντα τοὺς ὅρκους δικάσασθαι ὕστερον. ἐκκλησίας δὲ ἀντὶ τοῦ, ἐν ταῖς ἐκκλησίαις. ταῦτα δέ φησιν, ὡς τοῦ Νεοκλείδου διὰ κακουργίαν τοιαῦτα ποιοῦντος. Ἄλλως. ἐπομνύμενον μὲν ἀντὶ τοῦ ἐφεδρεύοντα ταῖς ἐκκλησίαις καὶ συκοφαντοῦντα ὑπὲρ τοῦ κερδαίνειν· ἢ ὑποφθείροντα, ἵνα συνέλθωσιν οἱ δικασταὶ, καὶ βοηθήσωσιν οἷς αὐτὸς βούλεται· ἢ κακουργοῦντα· οἱ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνωμόται ἐπὶ κακῷ ὤμνυον. Ἄλλως. ἐπωμοσία ἐστὶν ἡ δευτέρα τοῦ δικαστηρίου κρίσις λεγομένη μετὰ τὴν τῶν ἀποκλήρων παρουσίαν. —ἐπομνύμενον: Ἐφεδρεύοντα καὶ συκοφαντοῦντα καὶ ὀμνύντα πρὸς ἀπάτην. Θ. ἐφεδρεύοντα, ἐπιορκοῦντα καὶ συκοφαντοῦντα. Dv. ἐπιορκούμενον. P. τῆς ἐκκλησίας: Τοῦ συνεδρίου. D. τὰς ἐκκλησίας: Τὰς συναθροίσεις. P. ὡς φιλόπολις: Καθὸ τὸν λυμεῶνα τῆς πόλεως ἠμύνατο.

sch plut 726 —ὁ δαίμων: Θεός. σοφός: Πάντα εἰδώς. P. τῷ Πλούτωνι: ⟦ Τὸν Πλοῦτον Πλούτωνα εἶπε παίζων· ἢ ὅτι καὶ Πλούτωνα αὐτὸν ὑποκοριστικῶς ἐκάλεσεν, ὡς Σοφοκλῆς Ἰνάχῳ Πλούτωνος δ’ ἐπείσοδος · καὶ πάλιν τοιόνδ’ ἐμὸν Πλούτων’ ἀμεμφίας χάριν.

sch plut 727 Ἄλλως. ⟧ τὸν Πλοῦτον οὕτω λέγουσι· καὶ εἰκότως τὸν αὐτὸν τῷ Πλούτωνι τὸν Ἅιδην νομίζουσι· καὶ γὰρ Ἡσίοδός φησιν [Op. 465] εὔχεσθαι δὲ Διὶ χθονίῳ Δημήτερί θ’ ἁγνῇ, ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν. παίζει τῷ Πλούτωνι εἰπών. Θ. ἡμιτύβιον: ⟦ Ἀντὶ τοῦ σουδάριον· ῥάκος ἡμιτριβὲς λινοῦν τι, οἷον ἐκμαγεῖον.

sch plut 729 καὶ Σαπφὼ «ἡμιτύβιον σταλάσσων.» ἢ δίκροσσον φακιόλιον. ⟧ —ἡμιφάριον ἢ παχὺ ἱμάτιον, ἢ ἡμιτριβὲς, ἢ διπλοῦν ἐκμαγεῖον, ὃ δίκροσσον καλοῦσι. κυρίως δὲ τὸ ἐπὶ στολῇ νεκροῦ ῥάκος. ἀντὶ τοῦ σουδάριον ἢ φακιόλιον κροσσοὺς ἔχον ἀμφοτέρωθεν. V. ἡμιτύμβιον: Μαντίλιον. Dv. μανδύλιον (Θ.), μανδήλιον. Br. φακιόλιον. P. συδάριον. ῥάκος ἡμιτριβές. λινοῦν τι. ἢ φακιόλιον, κροσοὺς ἔχον ἀμφοτέρωθεν. R. τύμβος ὁ τάφος ὑπερέχων τῆς γῆς κατὰ κύκλον. ὥσπερ ἠρίον τὸ κατὰ γῆς καὶ μὴ ὑπεριστάμενον καθ’ ὁμοιότητα τοῦ τύμβου. καὶ ἡ κεφαλὴ οὕτως ὀνομάζεται διὰ τὸ ἐοικέναι τύμβῳ. ἡμιτύβιον οὖν τὸ ἐξ ἡμισείας τὴν κεφαλὴν καλύπτον. P. περιέψησεν: ἀπέματτεν.

sch plut 730 R. ὡμάλισεν, ἐσπόγγισε. V. περιεσπόγγισεν. Dv. περιεκάθηρεν. P. βλέφαρα αἱ πτύχες τῶν ὀφθαλμῶν, ἤγουν τὰ ὀμματόφυλλα. βλεφαρίδες δὲ αἱ τρίχες αἱ ἐμπεφυκυῖαι τοῖς βλεφάροις. P. κατεπέτας’: Περιεσκέπασεν.

sch plut 731 Θ. Dv. φοινικίδι: Πυρρῷ περιβολαίῳ. R. V. πέπλῳ κοκκίνῳ. Θ. Dv. Paris. ἐπόππυσεν: Ἐσύρισεν, ἵνα οἱ δράκοντες ἐξέλθωσι (δηλονότι)· —ἐπόπτυσεν: Ἐσύρισεν.

sch plut 732 Θ. P. ἐξηξάτην οὖν δύο δράκοντες: (Κοινῶς μὲν καὶ τοῖς ἄλλοις ἥρωσι δράκοντες παρετίθεντο, ἐξαιρέτως δὲ τῷ Ἀσκληπιῷ.

sch plut 733 ) δράκοντες δὲ λέγονται ἀπὸ τοῦ δέρκω, ὅ ἐστι βλέπω· ὀξυδερκὲς γὰρ τὸ ζῷον. ἀφιέρωται δὲ τῷ Ἀσκληπιῷ, ἐπειδὴ τὸ γῆρας ἀποβάλλει καὶ ἡ ἰατρικὴ δὲ φυλάττει φύσει τὸ νέον, ἐξωθοῦσα τὰ νοσήματα. — ἐξηξάτην: ἐξῆλθον. R. Θ. Dv. P. ἐξώρμησαν. Vict. ἐξηξάτην κανονίζεται ἀπὸ τοῦ αἴσσω, τὸ ὁρμῶ, ὁ μέλλων ἀΐξω, ὁ ἀόριστος ἤϊξα καὶ κράσει ἦξα, ὁ μέσος ᾐξάμην, τὸ τρίτον τῶν δυϊκῶν ᾐξάτην, ὡς ἐξηξάτην Vict. εἰκότως φησὶν ὑπηρέτας ἔχειν τὸν Ἀσκληπιὸν ὄφεις. ἐπειδὴ γὰρ οἱ ὄφεις τὸ παλαιὸν αὐτῶν ἀπεκδυόμενοι δέρμα ἀεὶ νεάζουσιν· οὕτως καὶ ὁ θεὸς τῶν ἀσθενούντων τὰς νόσους οἷά τινα λεβηρίδα ἀπορίπτων νεάζοντας δείκνυσιν. Dv., Vict. ὦ φίλοι θεοί: Θαυμαστικόν.

sch plut 734 P. τούτω: δυϊκῶς ἀντὶ τοῦ οὗτοι.

sch plut 735 V. οὗτοι οἱ δράκοντες. ὑποδύνθ’: Ὑπεισελθόντες. Θ. P. ὑπεισελθόντες ἠρέμα. Dv. ὥς γέ μοι δοκεῖν: Καλῶς τὸ ἐμοὶ δοκεῖν· οὐδὲ γὰρ ἑώρα αὐτοὺς εἴσω τῆς φοινικίδος ὄντας.

sch plut 736 —οὐ γὰρ οἷόν τε ὁρᾶν κεκαλυμμένον τῇ κεφαλῇ. Dv. καὶ πρίν σε κοτύλας: Ὡς εἰ ἔλεγε πρὶν εἰπεῖν σε πέντε λόγους ἢ πρὶν πτύσαι.

sch plut 737 κοτύλη δὲ εἶδος μέτρου, ὃ νῦν καλεῖται ἡμίξεστον. σκώπτει δὲ τὰς γυναῖκας ὡς μεθύσους. — ἔπαιξε δὲ εἰς τὸ φίλοινον εἶναι τὴν γυναῖκα. V. ⟦ δέον οὖν εἰπεῖν, πρὶν εἰπεῖν σε λόγον ἕνα, εἶπε, πρὶν ἐκπιεῖν κοτύλας οἴνου δέκα. ⟧ —διαβάλλει αὐτὴν καὶ αὖθις ὡς μέθυσον. δέον γὰρ

εἰπεῖν, πρὶν εἰπεῖν σε λόγον ἕνα, ἤ τι τοιοῦτον πρὸς τὴν συνήθειαν, ὁ δὲ οὕτως εἶπεν. εἶδος δὲ μέτρου ἡ κοτύλη, ὃ καλεῖται ἡμίξεστον. Dv., P. κοτύλας οἴνου: Πεπληρωμένας. P καρτελούρας. Dv. ὦ δέσποινά γ' ἑστήκει: Ἀνεστηκὼς ἦν.

sch plut 738 C. P. ἀνεκρότης': Ἀνατείνας ἔπληξα.

sch plut 739 P. τὸν δεσπότ' ἤγειρον: Ἐλάλησα.

sch plut 740 Dv. (ἠφάνισεν αὐτὸν: Ἀφανῆ ἑαυτὸν ἐποίησεν ἐμοῦ συγκροτήσαντος.

sch plut 741 ) —ἠφάνισεν: Ἀφανῆ ἐποίησεν (Θ.). ὄφεις: Ἔβησαν. Dv. νεών: Ἔδυσαν δηλ. διαβάλλει καὶ αὐτὸν ὡς λίαν ὑπνώττοντα P. ἐγκατακείμενοι: Ἤτοι οἱ ἀσθενεῖς.

sch plut 742 P. παρ' αὐτῷ: Τῷ ναῷ. Θ. Dv. P. πῶς δοκεῖς: Θαυμαστικὸν, ἀντὶ τοῦ λίαν. C. P. τὸν Πλοῦτον ἠσπάζοντο: Ἀντὶ τοῦ ἐφιλοφρονοῦντο.

sch plut 743 κυρίως δὲ ἀσπάσασθαί ἐστι τὸ περιπλέκεσθαί τινα, διὰ τὸ ἄγαν σπᾶσθαι εἰς ἑαυτὸν τὸν ἕτερον καὶ περιβάλλειν τὰς χεῖρας (ἐν τῷ φιλοφρονεῖσθαι). ἐγρηγόρεσαν: Ἔξυπνοι ἦσαν.

sch plut 744 Dv. P. ἕως: Ἰωνικῶς. διέλαμψεν: Διηύγασεν. P. πάνυ σφόδρα: Ἐκ παραλλήλου τὸ αὐτό.

sch plut 745 Ἀττικὸν δὲ τὸ ἔθος, ὡς τὸ τυχὸν ἴσως. καταχρηστικῶς τὸ ἐπῄνουν ἐπὶ τοῦ θεοῦ· κυρίως γὰρ ἐπὶ ἀνθρώπου τὸ ἐπαινεῖν. ταχὺ: Ἀντὶ τοῦ ταχέως.

sch plut 746 P. ὅσην ἔχεις τὴν δύναμιν: Θαυμαστικὸν τὸ ὅσος.

sch plut 748 R. (ταῦτα ἡ γυνὴ τοῦ Χρεμύλου θαυμάζουσα τὸν θεὸν διὰ τὴν τοῦ Πλούτου ταχεῖαν ἀνάβλεψιν.) —ὅσην: Θαυμαστικὸν, ἤγουν πολλὴν καὶ μεγάλην ἔχεις τὴν δύναμιν. ὦ 'ναξ δέσποτα: Βασιλεῦ Ἀσκληπιέ. P. φράσον: Εἰπέ.

sch plut 749 Θ. ἦν: Ὑπῆρχε.

sch plut 750 Θ. ὑπερφυὴς: Πολύς. Θ. Dv. ὑπ. ὅσος: Ὑπερφυῶς μέγας. ὅσος: Θαυμαστικὸν, ἤτοι πολύς. P. ὀλίγον: Βραχύν.

sch plut 752 P. ἠσπάζοντο: Ἐχαιρέτουν. Dv. ἐδεξιοῦντο. P. ἐδεξιοῦνθ' ἅπαντες: Ἀντὶ τοῦ ταῖς δεξιαῖς ἠσπάζοντο.

sch plut 753 Ὅμηρος [Il. K, 542] δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισιν. ἐδεξιοῦνθ': Τὰς δεξιὰς ἐνέβαλλον αὐτῷ ἀσπαζόμενοι. Θ. Dv. ἤτοι τὰς δεξιὰς ἐνεβάλλομεν. P. τῆς ἡδονῆς: Τῆς χαρᾶς. Dv. οὐσίαν τ' εἶχον συχνὴν: Πλοῦτον ἐκέκτηντο πολύν.

sch plut 754 P. οὐσίαν: Περιουσίαν. συχνὴν: Πολλήν. Θ. Dv. πολλήν. R. V. ἐκ δικαίου: Πόνου δηλ.

sch plut 755 , ἀλλ' ἐξ ἀδικίας τὸν βίον κεκτημένοι. P. κεκτημένοι: Ἔχοντες. Dv. ὀφρῦς συνῆγον: Σκυθρωπῶς προσέβλεπον.

sch plut 756 V. τοῦτο δεῖγμα κατηφείας. Θ. Dv. δεῖγμα κατηφείας, ἤτοι κατηφεῖς ἦσαν. ἴδιον γὰρ τῶν λυπουμένων τὸ τὰς ὀφρῦς συνάγειν. P. οἱ δίκαιοι γελῶντες καὶ ἐστεφανωμένοι ὄντες ὀπίσω τοῦ Πλούτου ἠκολούθουν.

sch plut 757 V. οἱ δ': Οἱ δίκαιοι. κατόπιν: Τοῦ Πλούτου. P. ὀπίσω τοῦ Πλούτου. R. εὐφημοῦντες: Τὸν Πλοῦτον.

sch plut 758 Θ. Dv. ἐπαινοῦντες τὸν Πλοῦτον. P. ἐμβὰς: τὰ ὑποδήματα.

sch plut 759 R. τὸ ὑπόδημα. Θ. τὰ ὑποδήματα τῷ τούτοις ἐμβαίνειν. V. τὸ ὑπόδημα τῶν ... P. ὑποδήματα. Dv. εὐρύθμοις: Εὐτάκτοις. Θ. P. ἀτάκτοις. D. (τὸ δὲ προβήμασιν) ἀντὶ τοῦ πηδήμασιν. R. V. προβήμασιν: Προπομπαῖς. Θ. Dv. πηδήμασιν. P. οὐδεὶς: Τῶν ἐν τῇ οἰκίᾳ ὄντων.

sch plut 762 P. εἰσιοῦσιν: Εἰσελθοῦσιν. ἀγγελεῖ: Λέξει. Dv. ἄλφιτ': Ἤγουν ἄρτοι.

sch plut 763

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Dv. ἄλευρα. P. ἐν τῷ θυλάκῳ: νῦν τῇ ἀρτοθήκῃ. R. τῇ ἀρτοθήκῃ σκυτίνῃ. Θ. ἐν τῇ ἀρτοθήκῃ. Dv. P. νὴ τὴν Ἑκάτην: Καθὰ γυνὴ τὴν Ἑκάτην ὀμνύει.

sch plut 764 Θ. P. ἀναδῆσαι β.: Στεφανῶσαι θέλω. Dv. ἐν κριβανωτῶν ὁρμαθῷ: Ἐπειδὴ ἐκεῖνος εἶπεν ὅτι οὐκέτι ἔσται ἐν σπάνει ἄρτων, ἀλλ' ἐν εὐπορίᾳ, διὰ τοῦτο αὐτὸν ἄρτοις ἀναδῆσαι βούλεται καὶ στεφανῶσαι.

sch plut 765 (κριβανωτῶν δὲ ὁρμαθῷ, ἀντὶ τοῦ ἄρτων δέσμῃ ἐν κριβάνῳ ὠπτημένων, δέον εἰπεῖν στεφάνῳ. κρίβανος δὲ παρὰ τὸ κρῖ, καὶ τὸ βαῦνος, ὁ κριθῶν δεκτικός. παίζει δὲ διὰ τὸ ἀδηφάγον αὐτοῦ.) ⟦ γράφεται δὲ καὶ, ἐκ κριβανωτῶν ὁρμαθῷ. ⟧ —εὐαγγέλια: Συχαρίκια. Dv. χάριν. P. κριβανωτῶν: Ἤγουν ἐκ κριθίνων μαζῶν· διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον. Θ. Dv. ἐν κριβ.: Πλήθει ἄρτων ἐν κριβάνῳ ὠπτημένων. P. στεφανῶσαι ... ἐκ κριθίνων μαζῶν ... διαβάλλει δὲ αὐτὸν ὡς λαίμαργον. Br. ὑρμαθῷ: Ὁρμαθὸς σύνδεσμος, στίχος. Vict. τὸ ἑξῆς τοιαῦτα ἀπαγγείλαντα εὐαγγέλια.

sch plut 766 V. ἀπαγγείλαντα: Μηνύοντα. P. μέλλ': Βράδινε. Dv. βράδυνε. P. ὡς: Ὅτι οἱ.

sch plut 767 Dv. φέρε νῦν ἰοῦσα: [Πρὸς τὸ ἔθος τὸ παρ' αὐτοῖς· τῶν γὰρ νεωνήτων δούλων τῶν πρώτως εἰσιόντων εἰς τὴν οἰκίαν, ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο καὶ τοῦ νυμφίου, παρὰ τὴν ἑστίαν τραγήματα κατέχεον εἰς σημεῖον εὐετηρίας, ὡς καὶ Θεόπομπός φησιν (ἐν Ἡδυχάρει φέρε σὺ τὰ καταχύσματα ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.

sch plut 768 εὖ πάνυ λέγεις. ) ἐπεὶ οὖν καὶ ὁ Πλοῦτος ἐν πρώτοις εἰσέρχεται, τοῦτό φησι.] σύγκειται δὲ τὰ καταχύσματα ἀπὸ φοινίκων, κολλύβων, τρωγαλίων, ἰσχάδων καὶ καρύων, ἅπερ ἥρπαζον οἱ σύνδουλοι. (κυρίως δὲ ἐλέγοντο, ὅτε δοῦλον ἠγόραζον· ἔφερον γὰρ αὐτὸν παρὰ τὴν ἑστίαν καὶ καθίζοντες κατὰ τῆς κεφαλῆς κατέχεον κόλλυβα καὶ ἰσχάδας, καὶ φοίνικας, καὶ τρωγάλια καὶ ἄλλα τραγήματα, καὶ οἱ σύνδουλοι ταῦτα ἥρπαζον. ἐλέγοντο οὖν ταῦτα καταχύσματα. διὰ τὸ τοῦ Πλούτου τοὺς ὀφθαλμοὺς νεωστὶ ἀναβλέψαι ὑπὸ Χρεμύλου. ὡς ἐπὶ δούλου οὖν νεωνήτου εἰληφὼς, τὰ καταχύσματα εἶπεν.) —ἰοῦσ' εἴσω: Ἐλθοῦσα ἐντὸς, ἵνα ... P. ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς: Δέον εἰπεῖν δούλοις, ὀφθαλμοῖς εἶπεν, διὰ τὸ ἀναβλέψαι τὸν Πλοῦτον.

sch plut 769 —νεωνήτοισιν: Νεωστὶ ἠγορασμένοις δούλοις. Dv. δούλοις. ὤφειλεν εἰπεῖν ὀφθαλμοῖς. Θ. P. ἀπαντῆσαι: Συναντῆσαι.

sch plut 770 P. ἀπαντῆσαι κυρίως τὸ λόγοις ἀντιπεσεῖν καὶ ἐναντιωθῆναι· καὶ ἔργοις· καὶ τὸ εἴς τινα τόπον καταντῆσαι. ὑπαντῆσαι δὲ τὸ συναντῆσαι. νῦν δὲ καταχρηστικῶς εἶπεν. Cant.2. ⟦ καὶ προσκυνῶ γε: Κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα', ὧν τελευταῖος ἀνίσταθ' ὡς ἁρπασόμενος τὰς ἰσχάδας ἐφ' ἑκάστου συστήματος παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῶν στίχων κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ αὖθις· κἀνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι καὶ διατρῖψαι μικρὸν, ἄχρις ἂν ἐξέλθοι τις ἀπαγγέλλων, ὅπως εἰσιόντος τοῦ Πλούτου πάντα τὰ τούτων πρὸς τὸ βέλτιον μεταβέβληται.

sch plut 771 ⟧ — ἥλιον: Τοῦτον γὰρ ἀναβλέψας πρῶτον ἑώρακα. Θ. P. τῆς Ἀθηνᾶς.

sch plut 772 Θ. ἐνδόξου Ἀθηνᾶς ἔνδοξον ἔδαφος. Dv. P. κλεινὴν πόλιν, τὴν ἀκρόπολιν δηλονότι. V. τὴν ἀκρόπολιν. R. Harl.5664, Barocc. 127. χώραν τε πᾶσαν Κέκροπος: (Παίζει πρὸς Ἀθηναίους φιλεγκωμίους ὄντας.

sch plut 773 ) Κέκροψ Αἰγύπτιος ὢν τὸ γένος ᾤκισε τὰς Ἀθήνας. ὅθεν οἱ Ἀθηναῖοι Κεκροπίδαι λέγονται, τινὲς δέ φασι τοῦτον καὶ διφυῆ γεγενῆσθαι, οἱ μὲν, ὅτι τὰ μὲν ἄνω ἀνδρὸς εἶχε, τὰ δὲ κάτω θηρίου· ἕτεροι δὲ, ὅτι νόμους πολλοὺς ἐφεῦρε τοῖς ἀνθρώποις καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν· ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων ταῖς γυναιξὶ, καὶ ἐκ τούτου μὴ γινωσκομένου ἢ τοῦ παιδὸς παρὰ τοῦ πατρὸς ἢ τοῦ πατρὸς παρὰ τοῦ παιδὸς, αὐτὸς νόμους θέμενος, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς καὶ μιᾷ στοιχεῖν, καὶ σχεδὸν εὑρὼν τὰς δύο φύσεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ τε πατρὸς καὶ τῆς μητρὸς, τούτου χάριν διφυὴς ἐκλήθη. — χώραν: Τὴν Ἀττικήν. P. αἰσχύνομαι δὲ τὰς ἐμαυτοῦ ξυμφορὰς: Τὰ συμβάντα μοι, φησὶν, αἰσχύνομαι· εἰς γνῶσιν δὲ ἐλθὼν καὶ αἴσθησιν ὧν ἔπραττεν, αἰδεῖται, γνοὺς ὡς μετὰ ἀδίκων ἦν.

sch plut 774 —τὰς ἐμ. ξυμφορὰς: Διά. ξυμφορὰς: Ὅτι ἔφευγον τοὺς δικαίους. P. οἵοις: Ὁποίοις, κακοῖς.

sch plut 775 Dv. κακοῖς. Θ. θαυμαστικὸν ἀντὶ τοῦ κακοῖς, ἀδίκοις. ξυνὼν: Ὁμιλῶν. P. ἐλάνθανον: Ἐμαυτόν. Dv. P. τοὺς ἀγαθούς.

sch plut 776 V. ὁ τλήμων ἐγὼ: Ὁ ἄθλιος.

sch plut 777 Dv. οὐδ’ ἐκεῖν’ ἄρ’ οὐδὲ ταῦτα: Οὔτε ἔφευγον τοὺς ἀγαθοὺς οὔτε μετεδίωκον τοὺς φαύλους.

sch plut 778 [οὔτε τοὺς κακοὺς πλουτίζων οὔτε τοὺς ἀγαθοὺς ἀφαιρούμενος τοῦ πλούτου.] —ὡς: Ὅτι. Θ. ὄντως. Dv. ἐκεῖν’ Τὸ συνεῖναι τοῖς κακοῖς. Θ. Dv. τὸ φεύγειν τοὺς δικαίους. P. ταῦτ’: Τὸ μὴ συνεῖναι τοῖς ἀγαθοῖς. Θ. Dv. τὸ συνεῖναι τοῖς ἀδίκοις. P. ἀναστρέψας: Ἱκανὴ γὰρ ἀπόδειξις ἀκουσίου ἁμαρτήματος ἡ διόρθωσις.

sch plut 779 —ἀναστρέψας: Διεγείρας. Dv. εἰς τὸ ἐναντίον μεταβαλών. P. τὸ λοιπὸν: Εἰς τὸ ἑξῆς.

sch plut 780 Dv. βάλλ’ ἐς κόρακας: Ὁ Χρεμύλος ἀγανακτεῖ πολλῶν αὐτὸν ἀσπαζομένων καὶ περιεχόντων, οἵτινες πρὸ τοῦ οὐδὲ ἑώρων αὐτὸν πένητα ὄντα, νυνὶ δὲ πλουτήσαντα κολακεύουσιν.

sch plut 782 ⟦ ἔστι δὲ τὸ «βάλλ’ ἐς κόρακας» παρ’ ὑπόνοιαν παραποιηθὲν ἐκ τοῦ, «βάλλ’ ἐς μακαρίαν,» περὶ οὗ ἀλλαχοῦ δεδήλωται· δηλοῖ δὲ τὸ ῥίψον ἑαυτὸν εἰς φθοράν· τοιοῦτον γάρ τι ἐς κόρακας. τὸ δὲ παραχρῆμα νῦν ἀντὶ τοῦ κατ’ αὐτὸ τὸ πρᾶγμα, καὶ ὡς εἰπεῖν παραυτίκα, οὐ μὴν πρὸ τοῦ πράγματος· διὸ ἑρμηνεύων ἐπήγαγεν, ὅταν πράττῃ τις εὖ, ἤγουν, ἐν αὐτῇ τῇ εὐπραγίᾳ, οὐ πρὸ αὐτῆς. —βάλλ’ ἐς κόρακας: Σεαυτόν. Θ. ἄπελθε σαυτόν. Dv. βάλ’: Ἄπιθι. χαλεπὸν: Πρᾶγμα. P. τοῦτο εἰώθασιν οἱ δυσχεραίνοντες λέγειν, ὃ νῦν καὶ Χρεμύλος λέγει, πρὸς τοὺς ἐπιπεσόντας αὐτοῖς κόλακας καὶ φιλοφρονουμένους. P. ⟧ παραχρῆμα: Παρὰ προσδοκίαν.

sch plut 783 πράττῃ τις εὖ: Εὐτυχῇ. Dv. θλίβουσι, ξύουσι, συντρίβουσι.

sch plut 784 R. V. τιτρώσκουσι, κόπτουσι, συντρίβουσι τῇ προσκυνήσει καὶ τῷ προκαλινδεῖσθαι. Θ. νύττουσι: Τιτρώσκουσι. Dv. P. φλῶσι: Συντρίβουσι. Dv. συντρίβουσι, θλίβουσι, ξύουσι. P. τἀντικνήμια: Ταῖς ἄντζαις. Dv. ἀντικνήμια ἐστὶ τὰ ἰδιωτικῶς λεγόμενα καλάμια τῶν ποδῶν. κνήμη δὲ ἡ λεγομένη ἄντζα, ὄπισθεν τοῦ καλαμίου. λέγεται δὲ οὕτως, ὡς κενὴ καὶ πλήρης οὖσα αἵματος. P. εὔνοιαν: Ἤγουν ἀγάπην.

sch plut 785 Dv. P. προσεῖπε: Οὐ χαίροις εἶπε, ἐχαιρέτισε.

sch plut 786 MS. Ducangii. προηγόρευσε καὶ ἐχαιρέτισε. ποῖος οὐκ ὄχλος: Πάντες. P. περιεστεφάνωσεν: Ἐτίμησεν.

sch plut 787 Dv. P. πρεσβυτικὸς: Γεροντικός. Θ. Dv. ὦ Πλοῦτε καὶ ὦ ἄνερ καὶ ὦ Βλεψίδημε ⟦ χαίρετε ⟧ .

sch plut 788 R. V. Θ. φίλτατ’: Ποθεινότατε. P. καὶ σὺ, καὶ σὺ: Πλοῦτε καὶ σὺ Χρεμύλε. Dv. P. νόμος: Σύνηθές ἐστι.

sch plut 789 Dv. συνήθεια. P. μηδαμῶς: Τοῦτο ποιήσῃς.

sch plut 790 P. ἐμοῦ γὰρ: Πιθανῶς, ἵνα μὴ ἐν τῷ φανερῷ καταχέῃ τὰ τραγήματα· (διὸ καὶ ἐπιφέρει, «ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἂν,» τουτέστι φορτικόν τι δρᾶν.

sch plut 791 ) ⟦ ἔπειτα καὶ τὸν φόρτον: Τὸν φορτικὸν γέλωτα, ἵνα μὴ γελασθῶμεν. ⟧ —εἰσιόντος: Πρωθύστερον, εἰσελθόντος. Dv. εἰσερχομένου. P. βλέψαντος: Ἀναβλέψαντος.

sch plut 792 ἐκφέρειν: Ἐξάγειν. P. πρεπῶδες: Πρέπον ἐστί.

sch plut 793 Dv. προσῆκον P. εἰσφέρειν: Εἰσάγειν εἴσω. Dv. P. δέξει δῆτα τὰ καταχύσματα: Λήψῃ τὰ ἐπάνω σου μέλλοντα καταχεῖσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 794 P. ἤγουν τὰ πλακούντια. Dv. παρὰ τὴν ἑστίαν: Πρὸς τὸ ἔθος, ὅτι παρὰ τῇ Ἑστίᾳ ἐποίουν τὰ καταχύσματα.

sch plut 795 —τὴν ἑστίαν: Τὴν οἰκίαν. Dv. δέξομαι δηλ. P. νόμος: Συνήθεια. Dv. ἀντὶ τοῦ ἔθος. παρὰ τῇ ἑστίᾳ κατέχεον. P. τὸν φόρτον: τὴν χλεύην.

sch plut 796 R. V. τὴν μέμψιν, καὶ τὴν κατηγορίαν. Dv. τὴν μέμψιν, τὴν κατάκρισιν. P. ψόγον, χλεύην, μέμψιν. Br. οὐ γὰρ πρεπῶδες: Ἔμφασις τοῦ Ἀριστοφανείου προσώπου· ὁ δὲ λόγος πρὸς τοὺς ἀντιτέχνους πρὸς διασυρμὸν, οἳ διὰ τὸν αὐτῶν βόλον ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπάγειν.

sch plut 797 καὶ ἐν τοῖς Σφηξὶν [58] ἐσεμνύνετο, ὅτι οὐκ ἔστι παρ’ αὐτῷ οὔτε κάρυα (ἐκ φορμίδος δοῦλοι διαρίπτοντες τοῖς θεωμένοις). φαίνεται μέντοι τὸ τοιοῦτον οὐ διὰ τῶν χορηγῶν, ἀλλὰ δι’ αὐτῶν τῶν διδασκάλων (γινόμενον, ὡς Ἐρατοσθένης) ἐπισημαίνεται. —πρεπῶδές ἐστι: Ἤγουν δίκαιον ὑπάρχει ἐμοὶ δηλαδή. Dv. ἐστι: Τοῦ πλουσίου. τῷ διδασκάλῳ: Ἐμοὶ τῷ Ἀριστοφάνει. P. τοῦτο τῷ μὲν δοκεῖν ἀπὸ τοῦ πλούτου ἐστὶ, τῇ δ’ ἀληθείᾳ παρὰ τοῦ ποιητοῦ. Dv. οὐ γὰρ πρεπῶδες: Ἔμφασις ἐνταῦθα τοῦ προσώπου τοῦ κωμικοῦ. ὁ δὲ λόγος αὐτῷ πρὸς τοὺς ἀντιτέχνους οἳ διὰ τῶν ὀβελῶν ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ὑπάγειν. φησὶ γὰρ οὐκ ἔστι πρέπον προτιθέναι ἐν τοῖς ἡμῶν ὀβελισμοὺς τινὰς καὶ διαγραφὰς καὶ ἀφανισμοὺς αὐτῶν ἢ ἑτέρων ποιημάτων ὥστε ἐκ τούτων ζητεῖν εὐδοκιμεῖν. Cant. 3. τῷ διδασκάλῳ ... προβαλόντ’: Ἀττικὸν τὸ σχῆμα. [Hom. Il. A, 542:] «αἰεί σοι φίλον ἐστὶν, ἐμεῦ ἀπονόσφιν ἐόντα.» R. πάντα τὰ τραγήματα ἰσχάδας ἐκάλουν.

sch plut 798 R. Θ. πάντα τὰ τραγήματα οὕτως ἔλεγον. V. ἰσχάδια: Σῦκα. Dv. τρωγάλια: Τραγήματα. οὕτω γὰρ τὰ τραγήματα ἐκάλουν οἱ παλαιοί. Vict. τοῖς θεωμένοις: Τοῖς θεαταῖς. Dv. τοῖς ἀκροαταῖς, τοῖς θεαταῖς. P. προβάλλοντ’: Προτείνοντα.

sch plut 799 Dv. προθέντα. Θ. P. ἐπὶ τούτοις: Τοῖς θεαταῖς. Dv. ἐπαναγκάζειν: Ἤτοι ἄκοντα παρακινεῖν. P. γελᾶν: Ὥστε γελᾶν. Dv. ὡς Δεξίνικος: Οὗτος πένης ἦν, καὶ κωμῳδεῖται, ὡς τὰ ὄψα ἁρπάζων, καὶ λίχνος.

sch plut 800 τινὲς δὲ καὶ στρατηγόν φασιν αὐτόν. —διαβάλλει τοῦτον ὡς ἅρπαγα ἢ ὡς πένητα. Dv. δ. τ. ὡς ἅρπαγον. C. ὡς: Ὅτι. C. ⟦ ὡς ἡδὺ πράττειν, ὦ ’νδρες: Εἴσθεσις συστηματικῆς περιόδου, ἐκ στίχων ὁμοίων κβ′, ὧν τελευταῖος ἔνδον μένειν ἦν· ἔδακνε γὰρ τὰ βλέφαρά μου.

sch plut 802 ἐπὶ τῷ τέλει παράγραφος. ἐχρῆν κἀνταῦθα μετὰ τὴν περίοδον τοῦ παρόντος συστήματος κομμάτιόν τι θεῖναι χοροῦ, ἄχρις ἂν θύσας ὁ Χρεμύλος ἐξέλθοι· ὁ δὲ ἱκανὸν εἶναι τὸν καιρὸν λογισάμενος, ὥστε θῦσαι αὐτὸν, ἐν ὅσῳ τοὺς λόγους τούτους ὁ Καρίων διέξεισιν, ἐξάγει εὐθὺς αὐτὸν συντυχεῖν, ὡς μέν τινες, τῷ δικαίῳ· ἄτοπον γὰρ εἶναί φασιν καὶ ἀπρεπὲς ἀγαθὸν ἄνδρα καὶ δίκαιον ὁμιλεῖν μετὰ δούλου· ὡς δ’ ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων εὕρηται, τῇ γραΐ. ⟧ ὡς ἡδὺ: Ὡς ἡδὺ πρᾶγμά ἐστι τὸ ἐν εὐπορίᾳ βιάζεσθαι ἢ ἐξετάζεσθαι. Ἄλλως. V. ἡδὺ τὸ εὐτυχεῖν, καὶ μάλιστα δίχα ἀναλωμάτων γινόμενον. —ὡς ἡδὺ πράττειν: Λίαν γλυκὺ εὐτυχεῖν. Dv. μηδὲν: Πρᾶγμα.

sch plut 803 ἐξενεγκόντ’ οἴκοθεν: Δαπανήσαντα, ἐκβαλόντα ἐκ τῆς οἰκίας. Dv. ἐξαγαγόντα. Paris. σωρὸς: πλῆθος.

sch plut 804 V. Θ. P. ἠδικηκόσιν: Παρ’ ὑπόνοιαν.

sch plut 805 R. παίζων τοῦτό φησιν, ὡς τῶν πολλῶν, καὶ μάλιστα τῶν Ἀθηναίων, ἐξ ἀδικίας μόνης πλουτούντων. (τὸ δὲ ἐπεισπέπαικεν,) εἰσεπήδησεν, εἰσῆλθε· κυρίως δὲ ἐπὶ στρατείας πολεμίων· (διὸ παίζων ἐπήνεγκεν, οὐδὲν ἠδικηκόσιν.) — ἐπεισπέπαικεν: Ἐπεισῆλθεν. Θ. Dv. σφοδρῶς

ἐπεισῆλθε καὶ εἰσεπήδησεν. P. (οὕτω τὸ πλουτεῖν ἐστιν ἡδύ: Ἀδιανόητος ὁ ἴαμβος· ἢ πρὸς τὰ ἄνω καὶ ταῦτα μηδὲν ἐξενεγκόντ᾽ οἴκοθεν · οὕτω γὰρ ἡδύ τί ἐστι πρᾶγμα τὸ πλουτεῖν.

sch plut 806 )—γνώμη. τὸ πλουτεῖν: Ἤγουν ὁ πλοῦτος. ἡδὺ: Εὐφραντόν. Dv. ἡ μὲν σιπύη: Σιπύη ἡ ἀρτοθήκη.

sch plut 807 ταῦτα δὲ παρὰ τὰ ἐν Ἰνάχῳ Σοφοκλέους, ὅτε τοῦ Διὸς εἰσελθόντος πάντα μεστὰ ἀγαθῶν ἐγένετο. προύχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων. ἤρξατο δὲ ἐκ τῆς τῶν ἀναγκαίων εὐπορίας. —σιπύη: Ἡ ἀρτοθήκη. Θ. Dv. ἡ κοινῶς ἄρκλα. λευκῶν: Καθαρῶν. P. ἀλφίτων: Σεμιδαλίων. Dv. μέλανος ἀνθοσμίου: Μέλανος, ἐρυθροῦ.

sch plut 808 Ὅμηρος [Od. E 265] «μέλανος οἴνοιο.» ἀνθοσμίου δὲ, ἡδέος, εὐόσμου, ὥσπερ τὰ ἄνθη· ἢ ὡς ἀπὸ τόπου ἀνθοσμίας· ἢ ὡς ἀπὸ εἴδους ἀμπέλου. ἢ τοῦ ἡδέος καὶ περιόσμου καὶ ἀνθηροῦ· τὸν δὲ χυδαῖον (οἶνον) καρηβαρίτην ἔλεγον. —ἀμφορῆς: Τὰ κοινῶς μεγαρικά. Ἀττικὸν ὡς οἱ βασιλῆς. Θ. ἀμφορεῖς: Τὰ μαγαρικά. Dv. P. ἀνθοσμίου: Εὐώδους. Dv. εὐώδους (Θ.), μοσχάτου. P. χρυσίον: Τοσοῦτον. P. τὰ σκευάρια: Τὰ σενδούκια.

sch plut 809 πλήρη: Γεγεμισμένα. Dv. (τὸ φρέαρ δ᾽ ἐλαίου μεστόν: Παραπαίζει πρὸς τὴν ἐναντίαν τῆς τύχης μεταβολήν.

sch plut 810 )⟦ λήκυθοι δὲ τὰ ἐλαιοδόχα ἀγγεῖα. ⟧ —τὸ φρέαρ: Τὸ πηγάδιον. αἱ λήκυθοι: Τὰ ἐλαιοδόχα ἀγγεῖα. V. Θ. Dv. τὰ ῥώγια, τὰ ἐλ. ἀ. P. τὸ ὑπερῷον: Τὸ τέγος.

sch plut 811 Θ. Dv. P. ἰσχάδων: Συκῶν. Θ. Dv. σύκων. P. ὀξὶς δὲ πᾶσα: ⟦ Ὀξὶσ ⟧ ἀγγεῖον ὄξους δεκτικόν.

sch plut 812 ἢ λοπάδος εἶδος, παρὰ τὸ εἰς ὀξὺ λήγειν. (λοπάδιον δὲ καὶ αὐτὸ εἶδος κεραμίου.) ⟦ ἰχθυηροὺς δὲ πινακίσκους, ⟧ τοὺς ἐπιτηδείους ἰχθῦν χωρῆσαι. (ἢ ἐν ᾧ οἱ ἰχθύες πλύνονται.) —ὀξὶς: Τὸ τοῦ ὄξους ἀγγεῖον. Θ. Dv. ἄγγος ὄξους δεκτικόν. P. λοπάδιον: Ὁ λεγόμενος κουρελός. Θ. Dv. χύτρα: Τζυκάλιον. Θ. Dv. πινακίσκους: Τὰ σκουτέλια.

sch plut 813 Dv. τοὺς ἰχθυηροὺς: Τοὺς ἰχθύας δεχομένους.

sch plut 814 Θ. Dv. τοὺς ἐπιτηδείους εἰς ὑποδοχὴν ἰχθύων. P. ὁ δ᾽ ἰπνὸς: Τὸ μαγειρεῖον· ἢ ἡ καπνοδόχη· ἢ ὁ λεγόμενος φανὸς, (ἢ ὁ χυτρόπους, ἢ ὁ δίφρος).

sch plut 815 καὶ ἐν Εἰρήνῃ [841] «ἰπνοὺς ἔχοντες, ἐν δὲ τοῖς ἰπνοῖσι πῦρ.» —ἰπνὸς: Τὰ φανάρια. Dv. τὸ φανάριον. Θ. τὸ φουρνεύτιον, ἢ τὸ μαγειρεῖον. P. ἐξαπίνης: Ἐξαίφνης. Θ. Dorv. στατῆρσι δ᾽ οἱ θεράποντες ἀρτιάζομεν: [Εἶδος νομίσματος.

sch plut 816 οἱ οἰκέται οὖν, φησὶ, νομίσμασιν ἀρτιάζομεν, ἀντὶ τοῦ παίζομεν ἄρτια ἢ περισσὰ,] τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον ζυγὰ ἢ ἄζυγα. (παιδιά τις ἦν, καθ᾽ ἣν ἐγίνετο πεῦσίς τε τοῦ κατασχόντος καὶ ἀπόκρισις τοῦ προσπαίζοντος, ἤτοι ἀρτίας κατοχῆς ἢ περιττῆς, ἃ νῦ ζυγὰ καὶ ἄζυγα καλεῖται. τινὲς δὲ ἀρτιάζειν λέγουσι τὸ ἁρπαγῇ παίζειν ἀπὸ τοῦ ἑταίρου, ἴσως δὲ τὸ σφαιρίζειν.) —στατῆρσι: Νομίσμασι. Dv. P. νομίσμασιν, ἃ καὶ δίδραχμα λέγεται. ἔχει δὲ ὁ στατὴρ κεράτια τριακοντάεξ. Θ. ἀρτιάζομεν: Τὰ ἄρτια καὶ τὰ περιττὰ παίζομεν, ἅ φασιν ἰδιωτικῶς ζυγὰ μονά. Θ. Dv. τὰ ἄ. κ. τ. π. παίζομεν, τὰ κοινῶς λεγόμενα παρὰ τοῖς ἰδιώταις μονὰ, ζυγά. Br. τὸ ἐν συνηθείᾳ λεγόμενον μονὰ ἢ ζυγά. Br. τὰ ἄρτια παίζομεν. P. ἀποψώμεσθα: Ἀπομασσόμεθα, καθαίρομεν τὴν πυγήν.

sch plut 817 V. τοὺς πρωκτοὺς σπογγιζόμεθα· οἱ γὰρ τρυφῶντες συνεχῶς χέζουσι. Θ. Dv. ἀποσπογγίζομεν τὸν πρωκτόν. P. σκοροδίοις ὑπὸ τρυφῆς: Τοῖς τῶν σκορόδων φύλλοις.

sch plut 818 (γελοίως ἀντὶ τοῦ σαβάνοις. ἐπειδὴ δὲ ἤσθιον ἑκάστοτε σκόροδα, τοῦτό φησιν, ὅτι ὡς πλουτήσαντες κατεφρόνησαν τῆς παλαιᾶς διαίτης. εἴρηται δὲ σκόροδον ἴσως, [σκαιόν τι ῥόδον ὂν, παρὰ τὸ] σκαιὸν ὄζειν. τινὲς δὲ σκοροδίοις, τοῖς τῶν σκορόδων καυλοῖς. λιμῷ γὰρ περιπεσόντες οἱ Ἀθηναῖοι τούτοις ἐχρήσαντο. —χάριν δὲ γέλωτος εἶπεν ἀντὶ τοῦ καυλοῖς. V.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄλλως. οὐχ ἁπλῶς τοῦτο, ἀλλ' ἵνα δείξῃ ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥστε ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα. Ἄλλως. μήποτε τοῦ σκορόδου λέγει τὸν καυλόν. ἔστι γὰρ ἀσφοδέλῳ ὅμοιος [κἀκεῖνος ἐπιτήδειος εἰς τοῦτο]. εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρηκώς.) —σκοροδίοις: Τοῖς τῶν σκορόδων φύλλοις. R ἑκάστοτε: Καθ' ἡμέραν. Dv. βουθυτεῖ: Καταχρηστικῶς εἴρηται ἡ βουθυσία, δηλοῦσα τόν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν.

sch plut 819 ἐντελὴς δὲ θυσία, ἡ ἐξ ὑὸς, τράγου, κριοῦ, ἣν καλοῦσι τριττύν. —Ἄλλως. μεγάλην θυσίαν ποιεῖ· οὐ γὰρ, ὥς τινες, βοῦν θύει, οἷς τὸ ἐπιφερόμενον ἐναντιοῦται. V. ὁ δεσπότης: Ὁ ἡμέτερος. Dv. βουθυτεῖ: (Βοῦν θύει. P.) Μεγάλην θυσίαν ποιεῖ, ἢ ἁπλῶς θύει. Θ. Dv. P. βουθυτεῖν κυρίως τὸ βοῦν θύειν. ἐκάλουν δὲ τὴν ἐντελῆ θυσίαν ἑκατόμβην διὰ τὸ ἐκ βοῶν ἑκατὸν γίνεσθαι. ἦν δὲ καὶ ἄλλη ἐντελὴς θυσία τριττὺς λεγομένη, ἡ ἐκ χοίρου καὶ κριοῦ καὶ τράγου, ἣν καὶ ἐνταῦθα λέγει. P. ὗν: χοῖρον.

sch plut 820 V. Dv. ἐξέπεμψεν.

sch plut 821 : Ἐξέβαλεν. Dv. ἔξω ἔπεμψεν. P. οἷός τε: Δυνατός. Dv. ἔδακνε γὰρ τὰ βλέφαρά μου: Μεταβολὴ πάντων, εἰ ὁ μὲν δεσπότης ὑποφέρει τὸν καπνὸν, ὁ δὲ δοῦλος οὔ.

sch plut 822 —μένειν: Καρτερεῖν. Dv. ἔδακνε: Ἔθλιβε. ὁ καπνός. P. τὰ βλέφαρα: Τοὺς ὀφθαλμούς. Dv. ⟦ ἕπου μετ' ἐμοῦ, παιδάριον: Κορωνὶς ἑτέρα εἰσιόντων ὑποκριτῶν.

sch plut 823 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι κζ', ὧν τελευταῖος χαρίεντά γ' ἥκεις δῶρα τῷ θεῷ φέρων. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ ἕπου μετ' ἐμοῦ: Πλάτων Μενεξένῳ [fine] «ἀλλ' εἰ μὴ πιστεύεις, ἀκολούθει μετ' ἐμοῦ.» Junt. ἕπου: Ἀκολούθει. Dv. P. παιδάριον: Ὦ. ἵνα: Ὅνα. τὸν θεὸν: Τὸν Πλοῦτον. Dv. ἴωμεν: Πορευθῶμεν.

sch plut 824 Dv. ἔα: Ἐπίρρημα ἐκπληκτικόν. Dv. P. Vict. ὁ προσιὼν: Ὁ ἐρχόμενος. Dv. ἀνὴρ πρότερον μὲν ἄθλιος: Δίκαιος ἀνὴρ οὗτος πρότερον πενόμενος, ᾧ διαλέγεται ἢ ὁ Χρεμύλος, ἢ ὁ οἰκέτης.

sch plut 825 τὸ δὲ, κομιδῇ μὲν οὖν, ἀντὶ τοῦ, παντάπασι μὲν οὖν. —εἰμί. P. ἄθλιος: Δυστυχής. εὐτυχής: Πλούσιος. Dv. δῆλον: Φανερόν.

sch plut 826 χρηστῶν: Ἀγαθῶν. ἔοικας: Φαίνεσαι. Dv. μάλιστ': Ἀττικὸν ἀντὶ τοῦ ναί.

sch plut 827 τοῦ δέει: Τίνος χρείαν ἔχεις. P. τίνος χρῄζεις. Dv. πρὸς: Εἰς. P. ἥκω: Ἦλθον.

sch plut 828 P. γάρ μοὐστὶν: Τὸ τέλειον, μεγάλων γάρ μοι ἐστίν. R. V. αἴτιος: Πρόξενος. Dv. ἱκανὴν οὐσίαν: Ἀρκετὸν βίον.

sch plut 829 P. οὐσίαν: Περιουσίαν. Dv. ἐπήρκουν: ἐχορήγουν.

sch plut 830 R. V. ἐβοήθουν. Θ. Dv. P. δεομένοις: Χρῄζουσι καὶ πενομένοις. Θ. P. εἶναι: Τοῦτο.

sch plut 831 Θ. νομίζων: Ὑπολαμβάνων. χρήσιμον: Ὠφέλιμον. Dv. ἦπου: Ὄντως.

sch plut 832 Θ. Dv. P. ταχέως: Συντόμως. P. ἀπέλιπεν: Ἀφῆκε. Θ. Dv. ἐπέλιπε: Ἀφῆκε. P. κομιδῇ: Λίαν.

sch plut 833 Θ. λίαν ταχέως. μετὰ ταῦτ': Μετὰ τὸ ἀναλῶσαι ταῦτα. P. ἄθλιος: Ὡς μὴ ἔχων περιουσίαν, ἀλλ' ἐν ἐνδείᾳ ζῶν. Θ. ἐπειδὴ ἀνήλωσας εἰς τοὺς δεομένους. R. V. κομιδῇ: Λίαν.

sch plut 834 ᾤμην: Ὑπελάμβανον. τέως: Πρώην. Dv. πρώην ἢ πρὸ ὀλίγου. P. πρώην, πρότερον. Brunck. ἕξειν: Κτήσασθαι.

sch plut 835 Dv. λήψεσθαι. P. ὄντως: Ἀληθῶς.

sch plut 836 Dv. βεβαίους: Ἀληθεῖς. P. δεηθείην: Εἰς χρείαν ἔλθοιμι. Dv. χρείαν σχοίην τινός. Paris. ἐξετρέποντο: ἀπέφευγον.

sch plut 837 R. ἔφευγον. V. μετεβάλλοντο, ὡς πρὸς ἑτέραν ὁδὸν ἐτρέποντο, πόρρωθεν θεασάμενοί με. Θ. (ἐξένευον. Dv. ) μετεβάλλοντο. ἐδόκουν: Ἐνόμιζον Dv. P. οὐ μόνον ταῦτ' ἐποίουν, ἀλλὰ καὶ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 838 ... Θ. Dv. P. κομιδῆ: Λίαν κατεγέλων. P. αὐχμὸς γὰρ ὤν: Τὸ ἑξῆς, ἀπώλεσέ με ὁ ὢν αὐχμὸς τῶν σκευαρίων.

sch plut 839 ἢ τὸ ὤν ἀντὶ τοῦ δή. Ἀττικῶς εἶπεν ἀντὶ τοῦ ξηρὸς γενόμενος ὑπὸ πενίας ἀπώλεσε τὰ σκευάρια, ἀπώλεσε τῶν σκευαρίων. Ἄλλως. μετωνυμικῶς, ἀπολέσαι με τὰ σκευάρια ἐποίησεν, —ἢ πάλιν ξηρὸς γενόμενος ὑπὸ πενίας καὶ τῶν σκευαρίων ἡψάμην. V. Ἄλλως. ἀντὶ τοῦ ἀπώλεια. μεταφέρεται δὲ ἀπὸ τοῦ σίτου. ὅταν γὰρ αὐχμὸς ἐπιγένηται ἤδη τῶν ἀσταχύων ἁδρυνομένων, ἀφανίζεται ὁ πυρὸς καὶ κατακαίεται. εἴρηται δὲ παρ' ὑπόνοιαν, οἷον πυρῶν καὶ κριθῶν. —αὐχμὸς: Στέρησις. Θ. Dv. στέρησις, ξηρασία. τῶν: Ἐμῶν. P. τῶν σκευαρίων: Τῶν χρειῶν. Dv. τῶν εἰς χρείαν πραγμάτων ἠφάνισεν. P. τῶν εἰς χρείαν ὄντων. Θ. τὸ ὤν ἢ ἀντὶ τοῦ οὖν νοητέον, τρεπομένης Δωρικῶς τῆς ου διφθόγγου εἰς ω μέγα· ἢ ἀντὶ τοῦ ὑπάρχων, οὕτω· ἀπώλεσε γὰρ ἐμὲ αὐχμὸς τῶν σκευαρίων ὢν καὶ ὑπάρχων ἐμοί. πέπρακα γὰρ ταῦτα, καὶ διὰ τοῦτο εἰς γέλωτα πᾶσι προὐκείμην. παρὰ τὸ μὴ ἔχειν τὰ σκευάριά τι, ἀπολώλειν. ἐχόντων γάρ τι τῶν σκευαρίων, ἤδη ἠρδευόμην. διακένων δ' ὄντων αὖος καὶ ξηρὸς ἦν ὑπὸ τῆς ψυχρᾶς πενίας, ὃ γοῦν ἔπασχεν ὁ δίκαιος οὗτος, ἀντιστρόφως τοῦτο τὰ σκευάρια, φησὶν, ἀπώλεσεν. C. ἀλλ' οὐχὶ νῦν: Ἔσται τοῦτο (Θ.

sch plut 840 ). ἀνθ': Ἕνεκα. Dv. P. προσευξόμενος: Μέλλων προσεύξειν καὶ παρακαλέσειν.

sch plut 841 P. ἥκω: Ἦλθον. Dv. τὸ τριβώνιον δὲ: Τὸ παλαιὸν ἱμάτιον.

sch plut 842 τοιοῦτον γὰρ ὁ οἰκέτης αὐτοῦ ἐβάσταζεν. —τὸ τριβώνιον: Τὸ παλαιὸν ἱμάτιον. Dv. τὸ διερρηγμένον. P. φέρει: (Ἄγει P.

sch plut 843 ) βαστάζει. Dv. P. τουτὶ: Τουτὶ πρὸς τὸ παιδάριον. Dv. ἢ τουτὶ πρὸς τὸ παιδάριον, ἢ τουτὶ τὸ τριβώνιον. Θ. ἀναθήσων: Ἀφιερώσων.

sch plut 844 Θ. P. ἀ. ἔρχομαι: Ἀφιερώσω, ἀνάθημα ποιήσω. πρὸς: Εἰς. Dv. μῶν οὖν ἐμυήθης: Παίζει παρὰ τὸν Ἐλευσίνιον νόμον· ἔθος γὰρ ἦν, ἐν οἷς τις (ἱματίοις) μυηθείη, εἰς θεοῦ τινος (ταῦτα) ἀνατιθέναι, ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ Μυστηρίων «πάτριόν ἐστι ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοὺς μύστας, ἐν αἷς τύχοιεν μυηθέντες.

sch plut 845 » μυστήρια δὲ δύο τελεῖται τοῦ ἐνιαυτοῦ Δήμητρι καὶ Κόρῃ, τὰ μικρὰ καὶ τὰ μεγάλα· καὶ ἔστι τὰ μικρὰ ὥσπερ προκάθαρσις καὶ προάγνευσις τῶν μεγάλων. (Ἄλλως. σκώπτων εἰς τὰ ἱμάτια τοῦτό φησιν, ὅτι ῥυπαρά ἐστι. λέγει δὲ μυστήρια. ἔθος δὲ εἶχον ἐν οἷς τις μυηθείη ἱματίοις, ταῦτα εἰς θεοῦ τινος ἀνατιθέναι. ἔνιοι δὲ τὰς τοιαύτας στολὰς εἰς τέκνων σπάργανα φυλάττουσι· καθαραὶ δὲ πάνυ ὑπάρχουσι καὶ νέαι.) ⟦ Ἄλλως. μεγάλα καὶ μικρὰ μυστήρια ἐτελοῦντο ἐν Ἐλευσῖνι τῆς Ἀττικῆς. μὴ ὄντων δὲ πρότερον μικρῶν, ἐλθόντος Ἡρακλέους καὶ θέλοντος μυηθῆναι, ἐπειδὴ νόμος ἦν Ἀθηναίοις μηδένα ξένον μυεῖν, αἰδεσθέντες τὴν αὐτοῦ ἀρετὴν, καὶ ὅτι φίλος τε ἦν τῆς πόλεως καὶ υἱὸς τοῦ Διὸς, ἐποίησαν μικρὰ μυστήρια, ἐν οἷς αὐτὸν ἐμύησαν. ἦσαν δὲ τὰ μὲν μεγάλα τῆς Δήμητρος, τὰ δὲ μικρὰ Περσεφόνης τῆς αὐτῆς θυγατρός. ὁ δὲ μυούμενος τὸ ἱμάτιον, ὃ ἐφόρει ἐν τῇ μυήσει, οὐδέποτε ἀπεδύετο, μέχρις ἂν τελέως ἀφανισθῇ διαρρυέν. ὅπερ δὲ πρὸς Ἡρακλέα, τοῦτο καὶ πρὸς Διοσκούρους ἐποίησαν. ⟧ —μῶν: Ἆρα δή. ἐμνήσθης: Ἐδιδάχθης. Dv. ἐμυήθης: Ἐδιδάχθης. αὐτῷ: Τῷ τριβωνίῳ. P. τὰ μεγάλα: Μυστήρια δηλονότι. R. Θ. Dv. ἐνερρίγως': Ἐν αὐτῷ ἐρίγωσα, ἤγουν ἐξεχείμασα.

sch plut 846 Dv. μετὰ ῥίγους διεβίβασα. ῥιγέω ῥιγῶ ἐπὶ ψυχῆς, ῥιγόω δὲ ῥιγῶ ἐπὶ σώματος. P. ἐμβάδια: Τί δύναται.

sch plut 847 ἤγουν τὰ καλίγια. Dv. ὑποδήματα. P. συνεχειμάζετο: Σὺν τῷ ἱματίῳ. Θ. Dv. P. ἀναθήσων: Ἀφιερώσων.

sch plut 848 Dv. ἀνάθημα ποιήσων. P. νὴ: Ναί. Dv. χαρίεντα: Ἡδύτατα κατ' εἰρωνείαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 849 φέρων: Κομίζων. P. ⟦ οἴμοι κακοδαίμων: Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ρθʹ, ὧν τελευταῖος νῷ δ’ εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.

sch plut 850 ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς χοροῦ αὖθις. ἐχρῆν γὰρ κἀνταῦθα θεῖναι χορὸν, εἰσιόντων τῶν ὑποκριτῶν ἐντὸς, ἄχρις ἄν τις ἐπέλθῃ ὑποκριτὴς ἕτερος. ⟧ —κακοδαίμων: Δυστυχής. ὡς: Ὅτι λίαν. Dv. καὶ ἰοῦ ἰοῦ: Καὶ φεῦ.

sch plut 852 P. οὕτω πολυφόρῳ: Πολλά μοι κακὰ ὑφ’ ἕνα καιρὸν φέροντι, ἢ ποικίλῳ ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου οἴνου· ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν.

sch plut 853 εἴρηται δὲ, ὅτι πολύφορον μὲν ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον, ὀλιγόφορον δὲ τὸν ὀλίγην. (πολυφόρῳ οὖν τῷ πολλῶν ἀτυχιῶν κομιστικῷ.) ἢ μεταφορικῶς ἐκ τῶν πολυκάρπων χωρίων, ἢ πολυανθῶν δένδρων. ⟦ Ἄλλως. συγκέκραμαι, μεταφορικῶς· ὡς ἀπὸ οἴνου καὶ ὕδατος τῆς συγκράσεως γινομένης. ⟧ —πολυφόρῳ: (Πολλαπλασίῳ Dv. ). Πολλὰ κακὰ φέροντι. Θ. Dv. E. P. συγκέκραμαι: Μεμιγμένος εἰμί. Dv. ἥνωμαι. P. πολύφορος γῆ, ἡ πολλὴν φορὰν καὶ καρπὸν παρέχουσα, καὶ πολύφορος οἶνος, ὁ πολὺ ὕδωρ δεχόμενος ἐν τῷ μίγνυσθαι τούτῳ. ἐκ τούτου μεταφορικῶς καὶ ὁ πολύφορος δαίμων, ὅθεν ἐπήγαγε τὸ συγκέκραμαι, ὅπερ ἐπὶ ὑγρῶν λέγεται. P. ἀποτρόπαιε: Διώκτα τῶν κακῶν.

sch plut 854 P. ποτ’: Ἆρα.

sch plut 855 πέπονθεν: Ἔπαθεν. Dv. σχέτλια: Χαλεπά.

sch plut 856 Dv. ἐλεεινά. P. πέπονθα: Ἔπαθα. νυνὶ: Ἀρτίως. Dv. ἀπολωλεκὼς: Φθείρας.

sch plut 857 τῆς οἰκίας: Τῆς ἐμῆς δηλαδή. Dv. τὸν ἐσόμενον: Τὸν γενησόμενον Πλοῦτον.

sch plut 858 Dv. ἤνπερ μὴ λίπωσιν αἱ δίκαι: ⟦ Ἀντὶ τοῦ, ⟧ ἐὰν τὸ δίκαιον παραμείνῃ.

sch plut 859 σκώπτει πάλιν ὡς βίαιον οὖσαν τὴν ἐν δικαστηρίῳ κρίσιν. —πάλιν αὖθις: Ἐκ παραλλήλου. αἱ δίκαι: Αἱ κρίσεις καὶ τὸ δίκαιον. Θ. Dv. P. σχεδὸν: Ἀντικρύς.

sch plut 860 Dv. φανερῶς. P. ἄντικρυς, φανερῶς. Θ. προσέρχεται: Παραγίνεται.

sch plut 861 κακῶς πράττων: Δυστυχῶν. P. κακῶς: Ἤγουν δυστυχῶς. πράττων: Ποιῶν. Dv. εἶναι τοῦ πονηροῦ κόμματος: (Κόμμα,) εἶδος φαύλου νομίσματος.

sch plut 862 ἀντὶ δὲ τοῦ εἰπεῖν φαύλου συστήματος, πονηροῦ κόμματος εἶπεν, ἐπειδὴ περὶ πλούτου ὁ λόγος. (εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων, διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλείονα δὲ χαλκόν. ἐπεσημήνατο δὲ τὴν λέξιν συνήθως τὸ χ, ἐπειδὴ μὴ ἐπὶ νομισμάτων τὸ κόμμα εἴρηκεν.) —ἀντὶ τοῦ λείψανον. πεποίηται δὲ ἀπὸ μεταφορᾶς τῶν κεκομμένων νομισμάτων ἐξ ὀλίγου τινὸς χρυσίου ἀποκεκομμένου. φασὶ δὲ πονηρὸν κόμμα τὸν παραχαραττόμενον ἄργυρον. κόμματος οὖν ἀντὶ τοῦ λειψάνου, ἢ λείμματος τῶν ἀδίκων. τὸ χ οὖν πρὸς τὸ κόμμα. V. κόμματος: Τοῦ χαράγματος. εἴρηται δὲ εἰς μεταφορὰν τῶν κιβδήλων νομισμάτων. Θ. P. καταρᾶται τῷ Πλούτῳ.

sch plut 863 R. νὴ Δία: Κατ’ εἰρωνείας. καλῶς ποιῶν: Δικαίως πάσχων. P. ἀπόλλυται: Φθείρεται. Dv. ὑποσχόμενος: Λέγων.

sch plut 865 εὐθέως: Παραυτίκα. Dv. ἐξαρχῆς: Ὡς τὸ πρότερον.

sch plut 866 Dv. ὁ δὲ: Ἰδεῖν. P. πολὺ: Κατά.

sch plut 867 Dv. πολὺ μᾶλλον: Μᾶλλον πρὸς τὸ μὴ ποιῆσαι πλουσίους ⟦ τινάσ ⟧ . R. V. P. ἐστὶν ἐξολωλεκώς: Ἀπώλεσεν. P. ἐνίους: Ἡμῶν. ἐξολωλεκώς: Ἀπολωλεκώς. Dv. Ἀττικὸν δὲ τὸ ἐξολωλεκώς. δέδρακε: Ἐποίησεν.

sch plut 868 Dv. Τίνα ἀπώλεσεν. Θ. ἐν ἤθει.

sch plut 869

R. V. ἦ: Ὄντως ἄρα. Θ. Dv. P. ἦσθα: Ὑπῆρχες. τοιχωρύχων: Κλεπτῶν. Dv. διὰ τοῦτο ταῦτα ἔπαθες. Θ. P. οὔμενουν ἔσθ’ ὑγιὲς: Οὐδαμῶς ὑπάρχει ἀληθές.

sch plut 870 Dv. οὐμενοῦν ἔ. ὑ. ὑμῶν οὐδενὸς: Ἀντὶ τοῦ, οὐδεὶς ὑμῶν ἔχει τι ἀγαθόν. Br. ὑγιὲς: Ὀρθὸν καὶ ἀληθές. P. οὐκ ἔσθ’ ὅπως: Οὐδαμῶς.

sch plut 871 Dv. ὡς σοβαρὸς, ὦ Δάματερ: Σεσοβημένος, ἐπίτριπτος.

sch plut 872 καταμωκώμενοι δὲ τῶν Δωριέων τὸ ὦ Δάματερ λέγουσιν. ὁ δὲ νοῦς, πῶς ἐπηρμένος καὶ μέγα φρονῶν καθ’ ἡμῶν εἰσῆλθεν. —ὡς: Λίαν. Dv. σοβαρὸς: Ἐπηρμένος. P. Δάματερ: Γῆ. εἰσελήλυθεν: Ἦλθεν. Dv. ⟦ ὁ συκοφάντης: Οὕτω καλοῦνται οἱ ἐπηρεάζοντες ἀπὸ τοιαύτης αἰτίας.

sch plut 873 τὸ παλαιὸν ἀπειρημένον ἦν σῦκα ἐξάγειν ἐκ τῆς Ἀττικῆς, τοῦ φυτοῦ κατ’ ἀρχὰς θαυμαζομένου. τοὺς πικρῶς οὖν διερευνῶντας τὸ τοιοῦτον, οὕτως ὀνομασθῆναι λέγουσιν ἀπὸ τῆς ὀπώρας. παρασχεῖν οὖν καὶ τοῖς ὁπωσοῦν μάτην ἐγκαλοῦσι τὴν ὀνομασίαν, ἅμα καὶ τοῦ φαίνειν τὸ ἐγκαλεῖν ἢ εἰς δίκην εἰσάγειν δηλοῦντος. ὅτι δὲ ἀπὸ τούτων γέγονεν, ἐκ τῶνδε δῆλον· συκαστὰς γὰρ τοὺς φιλεγκλήμονας ἔλεγον καὶ συκοβίους καὶ συκωροὺς καὶ συκολόγους καὶ φιλοσύκους καὶ συκώδεις καὶ συκοσπαδίας, ἴσως ἀπὸ τοῦ πάντας ἐγκλήματα ἐφέλκεσθαι. ⟧ βουλιμιᾷ: Πάνυ λιμώττει, (καὶ) πεινᾷ λίαν· ἀπὸ τοῦ βου ἐπιρρήματος, ὅπερ ἐπιτάσεώς ἐστι δηλωτικὸν, ἀντὶ τοῦ λίαν· ὥσπερ καὶ ἐν τῷ βούπεινα, ἡ μεγάλη πεῖνα, καὶ βουγάϊος καὶ βούγλωσσος· τινὲς δὲ εἶδος νόσου φασὶν, ἐν ᾗ πολλὰ ἐσθίοντες οὐ πληροῦνται· ⟦ τῶν γὰρ συκοφαντῶν τοιοῦτος ὁ τρόπος. ⟧ —μεγάλως λιμώττει. Θ. Dv. P. σὺ μὲν εἰς ἀγορὰν: Τοῦτο πρὸς τὸν θεράποντα· τὸ δὲ «οὐκ ἂν φθάνοις» ἀντὶ τοῦ οὐκ ἂν πέρας σχοίης τῶν κακῶν.

sch plut 874 —εἰς ἀγορὰν: Εἰς συνάθροισιν δικαστηρίου. P. ἐπὶ τοῦ τροχοῦ: Τροχός τις ἦν, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο.

sch plut 875* [τοῦτο δὲ λέγει ὁ ἄδικος πρὸς τὸν θεράποντα.] —ἐπὶ τοῦ τροχοῦ: Εἰς ὃν τοὺς κακοὺς κολάζουσι. Θ. Dv. P. πεπανούργηκας: Κέκλοφας.

sch plut 876 Dv. πονηρῶς ἐποίησας. P. οἴμωζ’: Κλαῖε. Dv. πολλοῦ: Τιμήματος.

sch plut 877 Dv. εἰ: Ἐπειδή. Θ. τοὺς συκοφάντας: πεποίηται τὸ ὄνομα ἐκ τῆς τῶν σύκων κλοπῆς φωράσεως.

sch plut 879 R. V. ἐξολεῖ: Ἐξολέσει, φθερεῖ ὄντας κακούς. οἴμοι τάλας: Φεῦ ὁ ἄθλιος, ἆρα καὶ σὺ κοινωνὸς ὤν.

sch plut 880 P. μῶν: Ἆρα. μετέχων: Κοινωνῶν. Dv. καταγελᾷς: Ἐμοῦ δηλ. P. γελῶ αἰτιατικῇ, καταγελῶ δὲ γενικῇ. P. ἐπεὶ πόθεν: Ἀντὶ τοῦ, εἰ μὴ μετεῖχες δηλ.

sch plut 881 , ἀπὸ ποίου τρόπου. τοδί: Τοῦτο. P. εἴληφας: Ἀντὶ τοῦ ἐπρίω. R. V. ἔχοντ’: Φοροῦντα.

sch plut 882 τριβώνιον: Ἱμάτιον διερρηγμένον. P. Dv. τριβακὸν ἱμάτιον. R. V. οὐδὲν προτιμῶ σου: Οὐ φροντίζω σου.

sch plut 888 ἡ φράσις Ἀττική. εἴρηται δὲ τὸ προτιμᾶν ἐπὶ τοῦ λόγον ἔχειν (καὶ ἐπιστρέφεσθαι). λέγει οὖν, οὐ φοβοῦμαί σε ἔχων φυσικὸν δακτύλιον. δακτύλιον δὲ, τὸν λεγόμενον φαρμακίτην. Εὔπολις Βάπταις μέμνηται καὶ Ἀμειψίας. ὁ δ’ Εὔδαμος φαρμακοπώλης ἢ χρυσοπώλης, τετελεσμένους δακτυλίους πωλῶν. φιλόσοφος δὲ ἦν οὗτος ὁ Εὔδαμος φυσικοὺς δακτυλίους ποιῶν πρὸς δαίμονα καὶ ὄφεις καὶ τὰ τοιαῦτα. [ἐθεράπευον γὰρ τοὺς ὀφιοδήκτους· μᾶλλον δὲ τὴν ἀρχὴν οὐκ εἴων ὑπ’ ὄφεων δάκνεσθαι. ⟧ —προτιμῶ σου: Φροντίζω. Θ. Dv. P. πριάμενος: Ὠνησάμενος. P. τὸν δακτύλιον τονδὶ: (Ἀλεξητήριον τῶν δηλητηρίων δείκνυσιν αὐτῷ καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦσι φαρμακίτην· πρὸς ὃ ὁ θεράπων,) κἂν ἔχῃς φαρμακίτην δακτύλιον, ἀλλ’ οὐ πρὸς δῆγμα συκοφάντου, ὡς τούτων χειρόνων ὄντων καὶ θηρίων, πρὸς ἃ ὁ δακτύλιος πεποίηται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 884 (ἀλλ’ οὐκ ἰσχύει, φησὶν, οὗτος ὁ δακτύλιος πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει ὁ τὸν τρίβωνα κομίσας· οἱ γὰρ δύο τὸν συκοφάντην ἐκφλαυροῦσι. λέγει δὲ ἐν ἤθει ὅτι οὐκ ἔστι τις ἐν τῷ δακτυλίῳ ἐπῳδὴ, ἢ φάρμακον πρὸς δῆγμα τοῦ συκοφάντου. ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες ὅτι χρησιμεύει τόδε πρὸς τόδε. λέγει οὖν, ἀλλὰ τοῦτο τὸ ἄκος καὶ ἡ ἀντιπάθεια οὐδὲν ἰσχύει πρὸς δῆγμα συκοφάντου. τὸ δὲ δῆγμα σκληρὰ λέξις ἀπὸ τῶν ἑρπετῶν εἰλημμένη. Ἄλλως. μὴ λάβῃς εἰς τὸ δήγματος ἔξωθεν τὸ ἀποτρεπτικός, ὡς οἴονταί τινες, ἀλλ’ ἔστιν ἡ γενικὴ πρὸς τὸ δακτύλιος οὕτως, ἀλλ’ οὐκ ἔστιν ὁ δακτύλιος δήγματος συκοφάντου, τουτέστιν, οὐκ ἔχει ἰσχὺν πρὸς τοὺς συκοφάντας, ὥσπερ εἰς τὰ τῶν ὄφεων δήγματα.) —δραχμῆς: Ἕνεκα. Ρ. νομίσματος, ὃ ἔχει κεράτια ιη′, ἥτις ὁλκὴ καλεῖται. Θ. ἔνεστι: λείπει φάρμακον.

sch plut 885 R. τῷ δακτυλίῳ δύναμις ἀποτρεπτική. Dv. ἤγουν ἀλλ’ οὐκ ἰσχύει πρὸς τὸ δῆγμα τοῦ συκοφάντου. Ρ ὕβρις: Μέμψις.

sch plut 886 ταῦτ’: Τὰ λεγόμενα ἀφ’ ὑμῶν. σκώπτετον: Σκώπτετε. Ρ. Ὑβρίζετε. Dv. ποιεῖτον: Ποιεῖτε ἐνταῦθα οὐκ ἐλέξατε.

sch plut 887 Dv. ἐνθάδ’: Ἐνταῦθα. εἰρήκατον: Εἴπατε. Ρ. ἐστὸν: Ἐστέ.

sch plut 888 Ρ. οὐκοῦν τῷ γε σῷ: Ἀγαθῷ δηλονότι.

sch plut 889 —τῷ γε σῷ: Ἐπὶ τῷ σῷ ἀγαθῷ. ἴσθ’: Γίνωσκε. Dv. σαφῶς γίνωσκε. Θ. ἐπὶ ... οὐδόλως ... φανερῶς γίνωσκε. ἢ οὐδόλως ἐσμὲν ἐπὶ τῷ ἀγαθῷ τῷ σῷ. Ρ. τῶν ἐμῶν: Πραγμάτων.

sch plut 890 Dv. ⟦ ὥς γ’ ἐπ’ ἀληθείᾳ: Λείπει δειπνεῖς.

sch plut 891 ⟧ μετὰ τοῦ μάρτυρος: (Κλήτορα γὰρ ἤγετο, ἵνα αὐτοὺς εἰς δίκην καλέσῃ. Ἄλλως.) τῷ συκοφάντῃ ἕπεταί τις ὥστε μαρτυρεῖν. (ὡς ἀγηοχότος οὖν τοῦ συκοφάντου καὶ μάρτυρα, ἵνα εἰς δίκην καλέσηται, τοῦτό φησι.) —ἐπ’ ἀληθείας: Ἀντὶ τοῦ σωζομένης τῆς ἀληθείας. Ρ. μάρτυρος: Ὅτι τινὰ τῶν δημοσίων ὑπηρετῶν ἧκεν ἄγων, ἵνα, ἐάν τι παρ’ αὐτῶν ἀκούσῃ, συμμαρτυρήσῃ αὐτῷ πρὸς τοὺς δικαστάς. Ρ. ὃν μετὰ σοῦ κομίζεις. Θ. διαρραγείης: Σχισθείης, ἀφανισθείης.

sch plut 892 Dv. διασχισθείης. Ρ. μηδενὸς: Ἀγαθοῦ. Dv. πράγματος. Ρ. ἔνδον: Τῆς οὐσίας ἐστίν.

sch plut 893 Ρ. τεμαχῶν: Κομματίων ἰχθύων· τέμαχος γὰρ κυρίως ἐπὶ τῶν ἰχθύων λέγεται.

sch plut 894 Dv. χρῆμα τεμαχῶν: Πρᾶγμα τμημάτων ἰχθύων. ὠπτημένων: Ἐν τῷ πυρὶ καιομένων. Ρ. ὖ ὖ: ⟦ Διὰ τῶν ψιλῶν τούτων υ δείκνυσι, ὅτι χοιρείων κρεῶν ὀσμῆς ᾔσθετο.

sch plut 895 Ἄλλως. ὖ ὖ ⟧ ἐπίρρημα θαυμαστικὸν, ὅπερ ἐν τῇ συνηθείᾳ λέγομεν. ὡς ὀσφραινόμενος τοῦτό φησι. —τινὲς δὲ ὁ δίκαιος. R. ⟦ τοῦ ψύχους γ’ ἴσως: Ἐπεὶ τὰ ζῶα, ἐσομένου ψύχους αἰσθανόμενα, πολλάκις ὀσφραίνεται.

sch plut 896 ⟧ —κακόδαιμον: Ἄθλιε. ὀσφραίνει τι: Ἐπὶ τὴν ὄσφρησιν ἥκεις. ψύχους: Αἰσθάνεται δηλ. Ρ. τί: Κατά τι. τοῦ ψύχους: Τοῦ κρύους. Dv. τοιοῦτον: Οἷον φορεῖ.

sch plut 897 ἀμπέχεται: Ἐνδύεται ἱμάτιον. Ρ. περιβέβληται. R. V. τοῦτο: Φαῦλον. ἀμπ.: Ἐνδύεται. Dv. ἀνάσχετ’: Ὑπομονητά.

sch plut 898 Θ. Dv. Ρ. ὑβρίζειν: Ἄτιμα ποιεῖν.

sch plut 899 ὡς ἄχθομαι: Φεῦ, λίαν. Ρ. οἴμ’: Φεῦ. ὡς: Λίαν. ἄχθομαι: Λυποῦμαι. Dorv. φιλόπολις: Τὸ μὲν φιλόπολις κοινὸν, Ἀττικὸν δὲ τὸ φιλόπατρις.

sch plut 900 —χρηστὸς: Ἀγαθός. Dv. Ρ. —φιλόπολις Φιλόπατρις. Dv. φιλῶν τὴν πόλιν. Ρ. πάσχω κακῶς: Ἤγουν δυστυχῶ. Dv. Ρ. ὡς οὐδεὶς ἀνήρ: Χρηστὸς εἰμί.

sch plut 901 Dv. οὕτως εἰμί. Paris. καὶ μὴν: Τὸ λοιπόν.

sch plut 903 Dv. ἐπερωτηθεὶς: Ἤτοι ἐκ δευτέρου ἐρωτηθείς. Ρ. ἀπόκρινε: Ἀπολογίζου. Dv. τὸ τί: Μέλλω ἐρωτηθῆναι. Ρ. ⟦ μελαγχολᾶν μ’ οὕτως οἴει: Ὥσπερ οἱ μαινόμενοι τὴν ἐν τοῖς πλήθεσι διατριβὴν ἀπαναινόμενοι ἐν ἐρημίαις φέρονται, διὰ τοῦτο καὶ τὴν τῶν γεωργῶν διατριβὴν μελαγχολίαν ὠνόμασεν, ὡς ἐν ἀγροῖς γενομένην.

sch plut 903 ⟧ —γεωργὸς εἶ: Γεωργεῖν ἐπιστάμενος. Ρ. μελαγχολᾶν: Ὑπολαμβάνεις ἐμὲ μαινόμενον. Dv. μαίνεσθαι, ὥστε ἀποτρέχειν εἰς τὰς ἐρήμους, ὡς οἱ γεωργοί. Θ. Ρ. σκήπτομαί γ’, ὅταν τύχω: Τινὲς τῶν πολιτῶν, ἡνίκα χρημάτων ἦν εἰσφορὰ πρὸς τὴν πόλιν, τὴν ἐμπορίαν ἐπροφασίζοντο, τὴν εἰσφορὰν βουλόμενοι φυγεῖν, ἀζήμιοι γὰρ οὗτοι διεφυλάττοντο, ὥς φησιν Εὐφρόνιος, ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα διὰ τῆς αὐτῶν ἐμπορίας.

sch plut 904 διὸ καὶ ὁ συκοφάντης λέγει ὅτι, ὅταν γένηταί (τις) καιρὸς πολέμου ⟦ καὶ εἰσφορᾶς ⟧ , ἔμπορον ἐμαυτὸν ἀποκαλῶ. [Ἄλλως. ὅταν, φησὶν, ἀνάγκη γένηται πράγματος, σκήπτομαι τότε ἔμπορος εἶναι. προφασίζομαι, φησὶν, ὅτι πέμπομαι εἰς τὸν πόλεμον.] —ἔμπορος: Πραγματευτής. Dv. κατὰ θάλατταν ἐμπορίαν ποιούμενος. Ρ. σκήπτομαι: Ἀντὶ τοῦ προφασίζομαι. Θ. Dv. προφασίζομαι τοῦτο ἤγουν τὴν ἐμπορίαν. Vict. τί δαί: Ἀποφαντικόν.

sch plut 905 τέχνην: Ἐπιστήμην. Ρ. πῶς οὖν διέζης;: Μερικῶς τίνα εἶχες ζωήν.

sch plut 906 Θ. Dv. ἢ πόθεν: Ἀπὸ ποίου τρόπου. Ρ. τῶν τῆς πόλεώς εἰμ’: Τῶν δημοσίων πραγμάτων φροντιστὴς, οἷον χορηγίας, τριηραρχίας, καὶ τῶν τοιούτων· ἰδίων δὲ, τῶν καθ’ ἕκαστον, οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν.

sch plut 907 ἰδίων τῶν ἰδιωτικῶν. καὶ Εὐριπίδης ἐν Βάκχαις εἰ μὴ γὰρ ἴδιον ἔλαβον εἰς χεῖρας μύσος. τῶν τῆς πόλεώς εἰμ’ ἐπιμελητὴς: Διοικητὴς εἰμί. Dv: τῶν δημοσίων καὶ πολιτικῶν φροντιστής. Θ. Ρ. τῶν ἰδίων: Τῶν χωρικῶν, ἰδιωτικῶν.

sch plut 908 Dv. τῶν ἰδιωτικῶν ἤτοι τῶν καθ’ ἕκαστον. Θ. Ρ. βούλομαι: Βουλευτὴς καὶ σύμβουλός εἰμι τῶν ἐθελόντων. Θ. βουλευτὴς εἰμί. Dv. μαθεῖν. Ρ. ⟦ πῶς οὖν ἂν: Ὁ νοῦς· πῶς ἂν οὖν χρηστὸς σὺ, ὁ λυπούμενος καὶ ἀγανακτῶν εἰς μηδέν σοι διαφέρον.

sch plut 909 ⟧ εἴ σοι προσῆκον μηδὲν: Εἰ (διὰ) τῶν πραγμάτων τῶν σοὶ μηδὲν διαφερόντων ἀπεχθάνει τοῖς ἀνθρώποις, (διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις πράγμασιν.

sch plut 910 ὁ γὰρ ἀλλοτρίων προϊστάμενος μισεῖται). —σοὶ προσῆκον μηδὲν: Ἤγουν, οὐδενὸς διαφέροντος καὶ προσήκοντός σοι. Dv. εἰ πρέποντος, ἁρμόζοντός σοι μηδενὸς, μισητὸς γίνῃ τοῖς πολλοῖς διὰ τὸ ἐπιχειρεῖν ἀλλοτρίοις. Ρ. τὸ εἶτα τρισσῶς λαμβάνεται, εἶτα ἀντὶ τοῦ μετὰ ταῦτα, καὶ εἶτα ἀντὶ τοῦ ἆρα, καὶ εἶτα ἀργὸν, ὡς ἐνταῦθα. Ρ. προσήκει: Διαφέρει ἢ πρέπει μοι.

sch plut 911 Ρ. καὶ ἀνήκει καὶ ἁρμόζει. Θ. ὦ κέπφε: Ὄρνεον ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν· καὶ οἱ παῖδες τῶν ἁλιέων (λαμβάνοντες τὸν ἀφρὸν) ῥίπτουσι τὸ πρῶτον πόρρωθεν, εἶτα ἐγγύτατα, εἶτα εἰς τὴν χεῖρα τὸν ἀφρὸν, καὶ οὕτως εὐχερῶς ἀγρεύουσι.

sch plut 912 καὶ ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν τοῦτο εἰς παροιμίαν. R. V. Ἄλλως. ἀνόητε, κοῦφε, ὦ τὸν νοῦν μετέωρε. ὄρνις γὰρ θαλάττιος τὸ κέπφος, κουφότατον σφόδρα τῷ ἀφρῷ διατρεφόμενον διὰ τῆς θαλάττης καὶ πάνυ ὀλίγον ἔχον σαρκῶδες. Ἄλλως. ὦ εὐτελέστατε καὶ λάλε. φασὶ γὰρ τὸν κέπφον εὐτελῆ καὶ λάλον. V. ⟦ ὦ εὐτελέστατε καὶ λάλε· φασὶ γὰρ τὸν κέπφον εὐτελέστατον καὶ λάλον· ὄρνεον γὰρ ἄφρον, ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν· τοῦτο βουλόμενοι οἱ τῶν ἁλιέων παῖδες χειρώσασθαι, ῥίπτουσι τὸ πρῶτον πόρρωθεν ἀφρὸν, εἶτα ἐγγύτατα, εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσὶν, καὶ οὕτω κατὰ μικρὸν ἀπατῶντες εὐχερῶς ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται οὖν εἰς παροιμίαν ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων. καλεῖται δὲ κοινῶς λάρος. ⟧ —ὁ κέπφος ὄρνεόν ἐστι θαλάττιον, ἀτελὲς καὶ λάρον καὶ ἀφελὲς, ὃ καλοῦσι κοινῶς λάρον· ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. τοῦτο ... φέρουσι τοῦτον ἐν ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χερσὶ … ἀνοήτων. P. εὐεργετεῖν: Εὐεργεσίαν παρέχειν. Dv. κέπφε: Λάρε. Θ. Dv. P. σθένω: Δύναμαι. Θ. P. πολυπραγμονεῖν: Τὸ πράγμασι καὶ κακουργίαις ἑαυτὸν ἐνδιδόναι καὶ δικορραφεῖν.

sch plut 913 Θ. ταῖς πανουργίαις ἑαυτὸν ἐκδεδωκέναι. Dv. τὸ πέρα τοῦ δέοντος ἐξετάζειν. Paris. τὸ μὲν οὖν βοηθεῖν: Τοῦτό ἐστι τὸ εὐεργετεῖν.

sch plut 914 Θ. Dv. μᾶλλον μὲν οὖν ὑπάρχει εὐεργετεῖν. κειμένοις: Τεταγμένοις. P. ἐνεργουμένοις καὶ πολιτευομένοις. Θ. ἐπιτρέπειν: Παραχωρεῖν καὶ ἐνδιδόναι.

sch plut 915 Θ. παραχωρεῖν καὶ ἁμαρτάνειν· διδόναι ἄδειαν παρὰ τὸ πρέπον. Dv. συγχωρεῖν. P. ἐξαμαρτάνῃ: Ἤτοι ἁμαρτάνων ἔξω τοῦ καλοῦ πίπτῃ. Θ. P. ἐξεπίτηδες: (Ἐξ ἀνάγκης ἢ) μάτην· οὕτως Ἀττικοί.

sch plut 916 (ἀργῶς καὶ μάτην. κοινότερον δὲ, καὶ τὰς τοιαύτας ψιλὰς ἐπιστασίας καὶ λειτουργίας ἀρχὰς ἔλεγον· καὶ τὸ βουλεῦσαι ἄρξαι.) ⟦ γράφεται δὲ καὶ ἐν σχήματι ἀποφατικῷ, οὔκουν. τὸ δὲ ὁ βουλόμενος ἀντὶ τοῦ, ὁ ἐπιμελητὴς, ὁ κατήγορος, ὁ προϊστάμενος. ⟧ — δικαστὰς: Κριτάς. P. ἐξεπίτηδες: Ἐπ' αὐτῷ τούτῳ. Θ. ἐπ' αὐτὸ τοῦτο. ἐσκεμμένως ἤτοι ἐπ' αὐτῷ τούτῳ. P. ἄρχειν καθίστησιν: Ἵνα παρ' αὐτῶν βοηθοῖντο οἱ νόμοι δηλαδή.

sch plut 917 Θ. ἄρχοντας εἶναι ποιεῖν. ἵνα παρ' αὐτῷ βοηθοῦνται. Dv. καθίστησιν: Τάττει. κατηγορεῖ: Συνηγορεῖ. Θ. P. κατηγορῶ κατά τινος λέγεται, ὃ καὶ ἀπὸ γενικῆς πρὸς αἰτιατικὴν ἔχει τὴν σύνταξιν, ὡς τὸ κατηγορῶ σου ἀμαθίαν. κατηγορῶ τὸ καταφάσκω παρὰ φιλοσόφοις γενικῇ συντασσόμενον. κατηγορῶ τὸ ἐφυβρίζω καὶ αὐτὸ γενικῇ. κατηγορῶ δὲ τὸ παριστῶ αἰτιατικῇ ὡς τὸ «κατηγόρησε ἡ θλίψις μακρόψιλον.» Θ. ὁ βουλόμενος: Ὁ θέλων.

sch plut 918 Dv. P. ἐκεῖνος: Ὁ κατηγορῶν. P. ἥκει: Ἀνήκει, ἀνατρέχει.

sch plut 919 P. νὴ: Μά.

sch plut 920 πονηρὸν: Κακότροπον. προστάτην: Φροντιστήν. Dv. ἐπιμελητὴν τῶν πραγμάτων αὐτῆς. Θ. ἐπιμελητήν. P. ἔχει: Ἡ πόλις δηλαδή. Dv. ἡσυχίαν ἄγων: Ἡσυχάζων.

sch plut 921 P. προβατίου βίον: Μωροῦ καὶ ἀνοήτου· [διὰ τὸ ἀδρανὲς τῆς διανομῆς τῶν πραγμάτων·] τὰ γὰρ πρόβατα μηδὲν ἐργαζόμενα ζῇ.

sch plut 922 —ζῆν ἀργός: Ἄπρακτος, ματήν. προβατίου βίον: Ἀντὶ τοῦ μωροῦ καὶ ἀνοήτου. προβάτου ζωὴν, ἀγροίκου. P. διατριβή τις τῷ βίῳ: Ἐπιτήδευμα, ἀσχόλημα, δίαιτα, διαγωγὴ, πρόφασις, ἀφ' ἧς μέλλομεν περὶ τὰ πράγματα διατρίβειν.

sch plut 923 —διατριβή: Πολυπραγμοσύνη. Θ. ἐπιτηδειότης. Dv. οὐδ' ἂν μεταμάθοις: Ἀντὶ τοῦ παύσαιο.

sch plut 924 κυρίως δὲ μεταμαθεῖν ἔλεγον τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν ἀφέμενον τοῦ πρώτου. —ἤγουν ἀντὶ τῆς πολυπραγμοσύνης ἄλλην ἑτέραν τέχνην μάθοις. Θ. οὐδ' ἂν: Οὐδαμῶς. Dv. μεταμάθοις: Καταλείψας τοῦτο ἕτερον μάθοις. P. δοίης: Δώσης. Dv. οὐ μεταμάθοις δηλονότι, εἰ παράσχοις. P. παράσχοις. Θ. καὶ τὸ Βάττου σίλφιον: Βάττος Κυρήνην ἔκτισεν, [ἐλθὼν ἀπὸ Θήρας, τῆς κατὰ Κρήτην νήσου·] ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον (παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ· ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους [καὶ ἐξόχους] τιμὰς δεχομένων.

sch plut 925 Ἄλλως. σίλφιον βοτάνη πολυτίμητος· ἡ δὲ αἰτία τοιαύτη ἐστί. Βάττος, ὁ καὶ Ἀριστοτέλης, πόλιν ἐν Λιβύῃ Κυρήνην [λεγομένην] ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον. καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν. καὶ οἱ Ἀμπελιῶται δὲ ἔθνος Λιβύης, εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου, ὥς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φησιν Ἀλεξανδρίδης.) —σίλφιον: Τὸ λεγόμενον βαλσαμέλαιον. Dv. Βάττου σίλφιον: Ὄνομα κύριον τὸ κοινῶς βάλσαμον. Ρ. ὁ Βάττος οὗτος ἔκτισε τὴν Κυρήνην, ἔνθα τὸ σίλφιον γίνεται, οὗ ὁ ὀπὸς πολλοῦ ἄξιός ἐστι. τιμῶντες οὖν αὐτὸν οἱ Κυρηναῖοι ὡς ἀρχηγέτην, χρυσῆν αὐτοῦ τὴν εἰκόνα πεποιήκασιν, τὸ σίλφιον ἐν τῇ δεξιᾷ φέρουσαν, λίθοις καὶ μαργάροις κεκοσμημένον. λαμβάνεται οὖν εἰς παροιμίαν τὸ τοῦ Βάττου σίλφιον ἐπὶ τῶν πολυτελῶν. Ρ. κατάθου: Ἀπόριπτε.

sch plut 926 Dv. ἀντὶ τοῦ καταβαλοῦ, ῥίψον. Ρ. θοιμάτιον: Ὁ φορεῖς. Dv. ὑπόλυσαι: Τὰ ὑποδήματα.

sch plut 927 Θ. Dv. τὰ ὑποδήματα ἄφελε. Ρ. προσελθέτω: Ἔμπροσθεν.

sch plut 928 Dv. Οὐκοῦν ἐκεῖνός εἰμ᾽ ἐγώ: Ἐκεῖνός εἰμι ἐγώ, φησὶν, ὁ μέλλων σοι προσελθεῖν.

sch plut 929 ⟦ τοῦτο ὁ θεράπων ἀποσκώπτων λέγει. ⟧ ἅμα δὲ καὶ μιμεῖται τὰ παρ᾽ αὐτοῦ ἄνω εἰρημένα, ἐν ὅσῳ δὲ λέγουσιν, ἀπέδυσεν. — ἐκεῖνος: Ὁ βουλόμενος δηλονότι προσελθεῖν. Ρ. μεθ᾽ ἡμέραν: Ἀντὶ τοῦ ἐν ἡμέρᾳ.

sch plut 930 Ἀττικὸν δὲ τὸ σχῆμα· (μεθ᾽ ἡμέραν γάρ φασιν, οὐκ ἐν ἡμέρᾳ.) — ἀποδύομαι: Ἀντὶ τοῦ τὰ ἱμάτια ἀφαιροῦμαι. Ρ. ἀποδύομαι λέγεται τὸ βιαίως καὶ λῃστρικῶς τὰ ἱμάτια ἀφαιροῦμαι. Ρ. μεθ᾽ ἡμέραν: Κατὰ τὴν ἡμέραν. Dv. Ἀττικῶς ἀντὶ τοῦ ἐν ἡμέρᾳ. ἐν νυκτὶ γὰρ πάσχουσι τοῦτο ἔνιοι ὑπό τινων λοχώντων αὐτούς. Θ. τὸ γὰρ κατὰ νύκτα ἀποδύεσθαί τινα ὑπὸ τῶν λόχων τῶν λωποδυτῶν ἴσως φορητὸν, ὅτι λάθρα τοῦτο ποιοῦσι τοὺς νόμους φοβούμενοι καὶ τὰ δικαστήρια, ἐγὼ δὲ κατὰ τὴν ἡμέραν τοῦτο πάσχω περιφανῶς. Vict. ἀξιοῖς: Ἀντὶ τοῦ δικαιοῖς.

sch plut 931 V. ἄξιον κρίνεις. Θ. Dv. Ρ. ἀλλότρια πράττων: Ξένα ἀπαιτῶν. Ρ. ἐνεργῶν ἢ ἀπαιτῶν. Θ. μαρτύρομαι: Εἰς μαρτυρίαν τίθημι.

sch plut 932 Θ. Dv. μάρτυρα καλῶ, ἢ διὰ μάρτυρος παραστήσω. Ρ. οἴχεται φεύγων: Εἶδε γὰρ αὐτὸν ἀποδυόμενον καὶ ἐφοβήθη, μὴ καὶ αὐτὸς τὰ ὅμοια πάθῃ.

sch plut 933 Θ. Dv. Vict. οἴχεται: Ἀπῆλθε. ὃν: Ὅντινα. Ρ. ὡς φυγόντος τοῦ μετ᾽ αὐτοῦ μάρτυρος.

sch plut 934 R. V. περιείλημμαι: Κατὰ κύκλον ἐλήφθην. Ρ. κεκράτημαι. Θ. Dv. οἴμοι μάλ᾽ αὖθις: Τὸ ἡμιστίχιον ἐξ Ἠλέκτρας Σοφοκλέους [1416] (τὸ οἴμοι μάλ᾽ αὖθις, ὅτε τὴν Κλυταιμνήστραν οἱ περὶ Ὀρέστην φονεύουσιν).

sch plut 935 R. V. δὸς σύ: Ὦ παιδάριον. Θ. Dv. ἀμφιέσω: Ἐνδύσω.

sch plut 936 Θ. Ρ. ἱερὸν γάρ ἐστιν: Ἱερὸν λέγουσι πᾶν τὸ ἀνατιθέμενον τοῖς θεοῖς.

sch plut 937 —μὴ δῆθ᾽: Μηδαμῶς. Dv. μὴ ἀμφιέσῃς. Ρ. κάλλιον: Κρειττόνως.

sch plut 938 Θ. κρεῖττον. Dv. ἀνατεθήσεται: Ὡς ἀνάθημα κρεμασθήσεται. Θ. Ρ. ἢ: Παρό.

sch plut 939 Ρ. τοιχωρύχον: Κλέπτην. Dv. κοσμεῖν: Καλλωπίζειν.

sch plut 940* Dv. καλλύνειν. D. σεμνοῖς: Λαμπροῖς. Dv. εὐτάκτοις προσήκει κοσμίοις. Paris. ἐμβαδίοις: Ὑποδήμασι.

sch plut 941 Dv. ταῦτα: Τὰ ἐμβάδια.

sch plut 942 αὐτίκα: Συντόμως. Ρ. ὥσπερ κοτίνῳ προσπατταλεύσω: Ὅτι ἐπὶ τῶν κοτίνων καὶ ἄλλων δένδρων πανταχοῦ πρὸς τοῖς ἱεροῖς προσπατταλεύουσι τὰ ἀναθήματα.

sch plut 943 (Ἄλλως. εἰώθασι τοῖς δένδροις κῶλα καὶ κρανία προσπατταλεύειν πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοὶ, πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά. Ἄλλως. ἔθος ἦν τοὺς θηρῶντάς τινα ἄγραν μέρος τι τοῦ θηρωμένου, ἢ τὴν κεφαλὴν ἢ πόδα, προσηλοῦν πασσάλῳ ἐπί τινος δένδρου εἰς αὐτὴν τὴν ὕλην,) πρὸς τιμὴν τῆς Ἀρτέμιδος. —κοτίνῳ: Ἀγριελαίᾳ. Θ. Dv. στεφάνῳ. Ρ. προσπατταλεύσω: Προσηλώσω, κρεμάσω. Θ. Dv. προσηλώσω, προσκαρφώσω. Ρ. ἄπειμι: Ἀπέρχομαι.

sch plut 944

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θ. ἤγουν ἀπέρχομαι. γινώσκω: Ἤγουν ἐπίσταμαι χείρων ὑπάρχων κατὰ πολύ. Dv. P. σύζυγον: Βοηθὸν, ἤγουν σύνδρομον.

sch plut 945 Dv. P. βοηθὸν, σύμμαχον. Θ. καὶ σύκινον: Ἴσον τῷ ἀσθενέστατον· τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενὲς ⟦ καὶ χαῦνον· ὅθεν καὶ συκίνη ἐπικουρία, ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελήσ ⟧ .

sch plut 946 ἢ σύκινον τὸν συκοφάντην κεκαλυμμένως λέγει, ἀπὸ τῆς συκῆς σχηματίσας ⟦ τὸ ὄνομα ⟧ . —ἐν εἰρωνείᾳ τοῦτο. R. σύκινον: Ἀσθενῆ. Dv. ἀσθενῆ, ἀδύνατον. P. ἡ μεταφορὰ ἀπὸ τῆς συκῆς, διότι ἔνι ἡ συκῆ ἀνίσχυρος, καὶ θραύεται εὐκόλως. Dv. ἰσχυρὸν θεὸν: Τὸν δυνατόν. Dv. τὸν Πλοῦτον. P. τήμερον: Ἀττικόν.

sch plut 947 Θ. σήμερον. δοῦναι δίκην: Τιμωρίαν. Dv. τιμωρίαν, ἤγουν τιμωρηθῆναι. P. τιμωρηθῆναι. Θ. Ὅτι: Διότι.

sch plut 948 περιφανῶς: Ἤγουν φανερῶς. Dv. καταλύει: Ἀφανίζει. περιφανῶς: Ἀριδήλως καὶ φανερῶς. Θ. P. οὔτε τὴν βουλὴν πιθὼν: Ἀντὶ τοῦ πείσας.

sch plut 949 ὅσα δ’ ἂν τῇ βουλῇ δόξῃ, ταῦτα ἐπὶ τὸν δῆμον ἀναφέρεται. καὶ ἐκ τῶν ἐναντίων τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα ὑπὸ τῆς βουλῆς κυροῦται. —πιθὼν: Καταπείσας. Θ. Dv. πείσας. P. τὴν τῶν πολιτῶν: Ἤγουν τοὺς πολίτας ὅλους.

sch plut 950 D. τὴν ἐκκλησίαν: Τοὺς δικαστάς. Θ. Dv. τὴν συνάθροισιν τῶν κριτῶν. P. ἔθος ἦν ἐν δημοκρατίᾳ ὅταν ψηφίσματα ἐγένετο, δεικνύειν τοῦτον τὴν βουλήν· εἶτα τοὺς κριτάς. Dv. ἐπειδὴ τὴν πανοπλίαν: Ἀντὶ τοῦ, ἐπειδὴ ἐγένου κατ’ ἐμὲ, ὅτε ἤμην πένης.

sch plut 951 (λόγους δὲ συκοφάντου μιμεῖται.) —τὴν πανοπλίαν: Τὸ ἱμάτιον παίζων. Θ. Dv. τὰ ἐνδύματα. P. πανοπλία κυρίως ἡ τῶν ὅπλων πάντων διασκευή· ἐνταῦθα δὲ καταχρηστικῶς. Dorv. πανοπλία μὲν ἡ τῶν ὅπλων πάντων παρασκευὴ, ἐνταῦθα δὲ τὸ ἱμάτιον καταχρηστικῶς λέγει, μᾶλλον δὲ παίζων, ὅτι ἓν εἶχε τοῦτο μόνον ἀντὶ πολλῶν ἄλλων ἱματίων. Vict. ἔχων: Φορῶν.

sch plut 952 Dv. P. βαλανεῖον: Λοετρῶν. Dv. τρέχε: Συντόμως ἔρχου. P. κορυφαῖος: Ἐπεὶ περιίσταντο περὶ τὸ πῦρ, ὥσπερ χορὸς ἐν τοῖς βαλανείοις.

sch plut 953 (οὐκ ἐξῆν δὲ ξένον χορεύειν ἐν τῷ ἀστικῷ χορῷ· παρὰ τοῦτο πέπαιχεν· ἐν δὲ τῷ Ληναίῳ ἐξῆν· ἐπεὶ καὶ μέτοικοι ἐχορήγουν. κορυφαῖος δὲ ὁ ἐν χόρῳ πρῶτος. [τὸ δὲ θέρου ἀντὶ τοῦ] θερμάνθητι. ὥσπερ ἀνδριὰς ἐπὶ κεφαλήν.) —κορυφαῖος ἑστηκὼς: Πρῶτος ὀρθῶς. θέρου: Ἤγουν θερμαίνου. Θ. Dv. P. τὴν στάσιν: Τὸ εἶναι κορυφαῖος τὸ βαλανεῖον.

sch plut 954 Dv. τὸ εἶναι ἐμὲ κορυφαῖον καὶ πρῶτον. P. ἀλλ’ ὁ βαλανεὺς: Λέγουσι γὰρ ὅτι οἱ πολλοὶ ἐλαττοῦσι τὸν ἀέρα τῶν λουτρῶν, εἰς ἑαυτοὺς αὐτὸν ἕλκοντες.

sch plut 955 —βαλανεὺς: Ὁ τοῦ βαλανείου ἐπιστάτης. ἕλξει: Ἑλκύσει. P. θύραζ’: Ἐκτὸς τῆς θύρας. Θ. Dv. τῶν ὀρχιπέδων: Τῶν ὄρχεων.

sch plut 956 R. V. Θ. Τῶν αἰδοίων. Dv. ἀπὸ τῶν ὄρχεων. γνώσεται: Γνωρίσει. P. τοῦ πονηροῦ κόμματος: Ὡς ἐπὶ νομίσματος εἶπεν, ἀπὸ μεταφορᾶς τῶν νομισμάτων τῶν κακῶς κοπέντων.

sch plut 957 —πονηροῦ: Ἀδίκου. P. τοῦ πονηροῦ κόμματος: Ἤγουν τῆς μερίδος τῆς πονηρᾶς· χαράγματος. Dv. τοῦ χαράγματος. Θ. τοῦ λείμματος. R. νὼ: Καὶ ἡμεῖς.

sch plut 958 Θ. ἡμεῖς. εἰσίωμεν: Εἰσέλθωμεν. Dv. ⟦ ἆρ’ ὦ φίλοι γέροντες: Κορωνὶς ἑτέρα ὁμοία.

sch plut 959 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πδ′, ὧν τελευταῖος στεφανόν γέ τοι καὶ δᾷδ’ ἔχων πορεύεται. ἐπὶ τῷ τέλει κορωνίς. ⟧ ἆρ’ ὦ φίλοι γέροντες: Γραῦς ἐστί (τις), ἥτις [πρώην] ἐμισθώσατο νεανίσκον δίκαιον ἐπὶ τῷ γαμεῖν αὐτήν. οὗτος δὲ πλουτήσας νῦν, ὡς δίκαιος, εἴασεν αὐτήν· διὸ καὶ καταβοᾷ τοῦ Πλούτου. —φίλοι: Προσφιλεῖς. P. ἀφίγμεθ’: Ἤλθομεν.

sch plut 960

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Dv. ὄντως: Κατ' ἀλήθειαν. P. τοῦ νέου τούτου θεοῦ: τοῦ Πλούτου. Θ. Dv. τοῦ νεωστὶ φανέντος. Gl. V. τοπαράπαν: Διόλου.

sch plut 961 Dv. παντελῶς R. V. P. ἡμαρτήκαμεν: Ἐσφάλημεν, ἠστοχήσαμεν. Θ. Dv. ἐξεπέσομεν. P. ἀλλ' ἴσθ': Οὐχ ἡμάρτηκας· γίνωσκε.

sch plut 962 ἀφιγμένη: Ἐλθοῦσα. Θ. Dv. P. ὦ μειρακίσκη: Προσπαίζουσι τῇ πρεσβύτιδι οἱ γέροντες.

sch plut 963* [καὶ μειρακίσκην μὲν διὰ τὸ τεθρυμμένον τοῦ ὡραϊσμοῦ,] ὡρικῶς γὰρ ἀντὶ τοῦ νεωτερικῶς, ἢ ἀντὶ τοῦ εὐπρεπῶς καὶ κοσμίως, ἢ πιθανῶς ἢ κατὰ καιρόν. —πυνθάνῃ: Ἤγουν ἐρωτᾷς. ὡρικῶς: Νεωτερικῶς. Dv. ὡρικῶς: ἀντὶ τοῦ νεωτερικῶς. παίζουσι γὰρ τῇ γραῒ οἱ γέροντες. R. νεωτερικῶς, ἤγουν ὡς πυνθάνονται αἱ ἐν ὥρᾳ οὖσαι γυναῖκες, ἤτοι ἐν ἥβῃ τῆς ἡλικίας. P. Vict. φέρε νῦν: Δή.

sch plut 964 Θ. ἄγε δή. τὸν ἔνδοθεν: Τὸν ἐντός. Dv. τῶν ἔνδοθι: Ὑπαρχόντων τῆς οἰκίας. P. ἐξερχομένων δηλονότι. Θ. μὴ δῆτ': Καλέσῃς δηλονότι.

sch plut 965 P. ἐξελήλυθα: Ἐξῆλθον. Dv. ὅτι: Διό.

sch plut 966 Θ. διότι. ἐχρῆν: Ἀντὶ τοῦ χρή. Dorv. πέπονθα: Ἔπαθα.

sch plut 967 Dv. ἔπαθον. P. δεινὰ: Χαλεπά. παράνομ': Ἄδικα. Dv. τὸ φίλτατε κωμικὸν καὶ γεροντικὸν τὸ πρόσωπον. Θ. ὁ θεὸς οὗτος: Ὁ Πλοῦτος.

sch plut 968 Dv. ἤρξατο βλέπειν: Ἀρχὴν ἐποιήσατο ὁρᾶν. P. ἀβίωτον: Κακοβίωτον.

sch plut 969 Dv. οὐ βιώσεως ἄξιον. Θ. P. τὸν βίον: Τὴν ζωήν. Dv. τί δ' ἐστίν; ἦπου καὶ σὺ συκοφάντρια: Ἐπειδὴ εἶδε τοὺς πονηροὺς τῶν ἀνδρῶν ἀτυχήσαντας βλέψαντος τοῦ Πλούτου, φησὶν ὅτι ἆρα καὶ σὺ ἐν ταῖς γυναιξὶ πονηρὰ εἶ; ὥσπερ δὲ πανδοκεύτρια, οὕτω καὶ συκοφάντρια.

sch plut 970 —ἦπου: Ὄντως ἄρα. συκοφάντρια: Ἤγουν ψεύτριαν. Dv. οἶσθα: Ὑπάρχεις.

sch plut 971 ἐγὼ μὲν οὔ: Οὐχ ὑπῆρχον. Dv. ἤγουν οὐκ εἰμὶ συκοφάντρια. P. ἀλλ' οὐ λαχοῦς' ἔπινες: Παρ' ὑπόνοιαν ἀντὶ τοῦ ἐδίκαζες.

sch plut 972 (ὅτι δὲ κατὰ γράμματα ἐκληροῦντο, προείρηται· οὐ μὴν ἀλλὰ καὶ ἐβούλευον οὗτοι τῷ πρὸ τούτου ἔτει ἀρξάμενοι. φησὶ γὰρ Φιλόχορος, ἐπὶ Γλαυκίππου, καὶ ἡ βουλὴ κατὰ γράμμα τότε πρῶτον ἐκαθέζετο· καὶ ἔτι νῦν ὄμνυσιν ἀπ' ἐκείνου καθεδεῖσθαι ἐν τῷ γράμματι ᾧ ἂν λάχωσι. Ἄλλως.) τοῦτο ἀφ' ἑτέρου ἐστὶν ἑρμηνεῦσαι· Ἀθηναῖοι γὰρ ἀπὸ τῶν φυλῶν ἐποίουν τοὺς δικαστὰς κατὰ γράμμα, οἷον ἡ πρώτη τὸ α ἔσχε σημεῖον, καὶ ἡ δευτέρα τὸ β, καὶ αἱ ἄλλαι ὁμοίως ἕως τοῦ κ. [δέκα γὰρ φυλῶν οὐσῶν δέκα ἐγίνοντο δικασταί·] ὁ οὖν λαχὼν τὸ α πρῶτος ἐδίκαζε, καὶ οἱ ἄλλοι ὁμοίως. (Ἄλλως. ὡς ἐπὶ τῶν ῥητόρων· οἱ γὰρ λαχόντες μόνον ῥητορεύουσι· λέγει οὖν ὅτι ἆρα ὁ κλῆρός σου οὐκ ἀνῆλθεν. Ἄλλως. ἐκληροῦντο γὰρ πρὸς τὸ γράμμα καὶ οὕτως ἐδίκαζον. τάχα οὖν σὺ, φησὶ, λαχοῦσα οὐκ ἐδίκαζες, ἔπινες δὲ διὰ τοῦτο εἶπεν, ἵνα διαβάλλῃ τὰς γυναῖκας ὡς φιλοίνους. ἐρωτηματικῶς οὖν. ἐπειδὴ καὶ γέροντές εἰσιν οἱ δικάζοντες· διὸ εἶπε πρὸς τὴν γραῦν, «ἀλλ' οὐ λαχοῦς' ἔπινες ἐν τῷ γράμματι.») —ὑβρίζει αὐτήν. Dv. λαχοῦς': Κληρωθεῖσα. ἔπινες: Ἐδίκαζες. γρ. δικαστηρίῳ. P. κληρωσαμένη, ἐν τῷ δικαστηρίῳ. Θ. δέον εἰπεῖν, ἀλλ' οὐ λαχοῦς' ἔκρινες ἐν τῷ γράμματι, ὡς ἔμπροσθεν τὴν ἱστορίαν εἴπομεν εἰς τὸ [277] «ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου.» ὁ δὲ διαβάλλων αὐτὴν ὡς μέθυσον, φησίν· «ἀλλ' οὐ λαχοῦς' ἔπινες ἐν τῷ γράμματι.» Br. παρ' ὑπόνοιαν. οὕτω γὰρ ὤφειλεν εἰπεῖν· ἆρα οὐ κληρωθεῖσα ἐν τῷ γράμματι ἐδίκαζες; ὁ δὲ τὸ τῶν γυναικῶν φίλοινον σκῶψαι θέλων ἔπινες φησί. P. ἐγὼ δὲ κατακέκν.

sch plut 973 : Ὑπὸ ἔρωτος πάσχω. Θ. Dv. ἐρωτικῶς λελύπημαι. P. δειλάκρα: ἡ ἄκρως ἀθλία. V. Θ. Dv. ἀθλία. P. τὸν κνισμὸν τίνα: (Ἀντὶ τοῦ κατακνισμόν.

sch plut 974

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπίτηδες δὲ) ὡς καπρῶσαν σκώπτει τὴν γραῦν. (Ἄλλως. κνισμός ἐστι κυρίως ἡ πρὸς τὴν μίξιν βακχεία καὶ πύρωσις. ἐνταῦθα οὖν κατακέκνισμαι, ἀντὶ τοῦ ὑπ' ἔρωτος πάσχω.) —οὐκοῦν ἐρεῖς: Λέγεις. ἀνύσασα: Τελειώσασα. Dv. τελέσασα, σπεύσασα. Θ. ἐρεῖς ἀνύσασα: Εἴποις σπουδάσασα. Ρ. τίνα: Κατακέκνισαι. Θ Dv. Ρ. νῦν: Δή.

sch plut 975 Θ. νῦν: Λοιπόν. φίλον: Ἠγαπημένον. Dv. πενιχρὸν: Πτωχόν.

sch plut 976 εὐπρόσωπον: Ὡραῖον. Dv. Ρ. ὡραῖον. Θ. ἄλλως: Κατ' ἄλλον τρόπον. Ρ. χρηστὸν: Ἀγαθόν.

sch plut 977 τοῦ: Τίνος. (καὶ τίνος. Θ.) δεηθείην ἐγὼ: Εἰς χρείας ἦλθον χρῄζων ἐγώ. Dv. ἐδεήθην. Θ. Ρ. κοσμίως: Εὐτάκτως.

sch plut 978 καλῶς: Ἤγουν πρεπόντως. Dv. ὑπηρέτουν: Ἐδίδουν.

sch plut 979 Ρ. ὅτι: Διότι.

sch plut 980 ἐδεῖθ': Ἔχρηζε. ἑκάστοτε: Πάντοτε. Dv. ἐκνομίως: Ἀντὶ τοῦ ὑπερφυῶς, ὑπερβαλλόντως, μεγάλως.

sch plut 981 (κυρίως δὲ τὸ ὑπὲρ τὸ νενομισμένον.) — οὐ πολλὰ: Ὑπηρέτουν αὐτῷ. Dv. ἐδεῖτο δηλονότι. Ρ. ἐκνομίως: Ὑπερφυῶς καὶ πέρα τῆς συνηθείας. Θ. ὑπερφυῶς, ἐπέκεινα νόμου. Dv. ὑπερβαλλόντως, ὑπερφυῶς, ὑπὲρ τὸ νενομισμένον. ᾐσχύνετο: Εὐλαβεῖτο. Paris. ᾔτης': Ἐζήτησεν ἐμέ.

sch plut 982 Dv. τὸ εἴκοσιν Ἀττικὸν μετὰ τοῦ ν. V. εἰς ἱμ.

sch plut 983 : Χάριν. εἰς ὑποδήματα: Ἤγουν χάριν ἀγορᾶς. Dv. [ὅτι] τὸ ἀγοράσαι νῦν συνήθως ἡμῖν φησιν ἀντὶ τοῦ ὠνήσασθαι.

sch plut 984 R. V. Θ. ἐκέλευσε: Εἶπεν ἐμέ.

sch plut 985 θοιματίδιον: Μικρὸν εἱμάτιον. Dv. πυρῶν: Σίτου.

sch plut 986 Θ. ἐδεήθη: Εἰς χρείας ἦλθεν. μεδίμνων: Μοδίων. Dv. μοδίων τεττάρων. πάντα ταῦτα παρεῖχον. Θ. Ρ. οὐ πολλὰ: Εἰρωνικῶς φησι παίζων· πολλὰ γὰρ κατέλεξεν.

sch plut 987 R. V. εἰρωνικὸς ὁ λόγος. Θ. Dv. ᾐσχύνετο: Ἐδεῖτο.

sch plut 988 Dv. οὐχ ἕνεκεν μισητίας: [Πορνείας, οἱονεὶ μισγητίας, παρὰ τὸ μίσγεσθαι.

sch plut 989 ] καὶ ἐν τούτοις μισητίαν φησὶ τὸ εἰς τὰς συνουσίας εὐεπίφορον. οὐχ ἕνεκα, φησὶ, τοῦ ὑπηρετεῖν μου τῇ ἀσελγείᾳ. —μισγοτίας: Μίξεως, συναφείας. Dv. μισητίας: Μίξεως, συναφείας, ἀπὸ τοῦ μίσγω δὲ μισγητία καὶ μισητία. Θ. πορνείας, μίξεως. Ρ. Br. αἰτεῖν: Ζητεῖν.

sch plut 990 ἔφασκεν: Ἔλεγεν. Dv. οὕτω μεμνῆτο ὡς Ἡρωδιανός φησιν ἐν τῇ τῆς Ὁμηρικῆς προσῳδίας.

sch plut 991 τοῦτο δὲ ἐν εἰρωνείᾳ καὶ χλεύῃ. V. μεμνῆτο: Ἐνθυμοῖτο. Dv. ἐρῶντ': Ἐπιθυμοῦντα.

sch plut 992 Θ. ἐκνομιώτατα: ἀντὶ τοῦ σφοδρῶς. R. V. ὑπερφυῶς, ὑπὲρ τὸ νενομισμένον Θ. Dv. ὁ βδελυρὸς: Ὁ αἰσχρός.

sch plut 993 Θ. Dv. μυσαρός. Ρ. ἔτι: Εἰς τὸ ἑξῆς. Dv. νοῦν: Σκοπόν. Ρ. μεθέστηκεν: Μετεβλήθη.

sch plut 994 Θ. Dv. μεταβέβληται. μεθιστῶ τὸ μετάγω. Ρ. μετετέθη τῆς διαθέσεως μετηλλάγη. Br. ⟦ τουτονὶ: Εἰκότως εἶπε τουτονί.

sch plut 995 ἔφερε γὰρ ἐν ταῖς χερσὶν διὰ τὸ πέμψαι μὲν αὐτὴν ἐκείνῳ, μὴ δέξασθαι δὲ αὐτὸν, ἀλλ' ἀποπέμψαι πάλιν αὐτῇ. ⟧ τἀπὶ τοῦ πίνακος: Ἐντὸς τοῦ πίνακος.

sch plut 996 Dv. σανὶς ζωγραφουμένη. πίναξ τὸ ἄκος τῆς πείνης, ἤγουν ὁ θεραπεύων τὴν πεῖναν διὰ τῶν ἐν αὐτῷ βρωμάτων. Θ. Vict. ἐνόντα: Ἐνυπάρχοντα.

sch plut 997 ὑπειπούσης: Κρυφίως μηνυσάσης. Θ. Dv. οἱ μὲν ἀντὶ τοῦ εἰπούσης, οἱ δὲ ἠρέμα φθεγξαμένης, ὃ καὶ ἄμεινον. R. V. ἔδρας': Ἐποίησεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 998 Dv. ἄμητά τε προσέπεμψεν: Εἶδος πλακοῦντος γαλακτώδους.

sch plut 999 οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρά μου, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον, (ὡσανεὶ λέγων μηκέτι πατῆσαι ἐκεῖ με.) —ἄμητα: Τὴν λεγομένην ἰδιωτικῶς φλεψίαν. εἶχε γὰρ αὐτὸν ἐν ταῖς χερσί. Θ. Dv. τὰ κοινῶς ταρχανά. Dv. ἐφ' ᾧ τ' ἐκεῖσε: Ἐπὶ τῷ ἐκεῖ.

sch plut 1000 Θ. Dv. πρὸς ἐπὶ τούτοις: Ἐκ παραλλήλου.

sch plut 1001 ἀποπέμπων: Τὴν πρὸς ἐμὲ ἀποδιώκων συνήθειαν. Θ. Dv. εἰς τοὐπίσω πέμπων. P. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: Τινές φασιν, ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις ἰσχυρότατοι ἦσαν οἱ Μιλήσιοι καὶ ὅπου προσετίθεντο πάντως ἐνίκων.

sch plut 1002 Πολυκράτης οὖν ὁ Σάμιος συγκροτῶν πόλεμον πρός τινας ἠθέλησεν αὐτοὺς λαβεῖν εἰς συμμαχίαν, καὶ εἰς τὸ μαντεῖον ἀπῆλθεν ἐρωτήσων περὶ τούτου· ὁ δὲ θεὸς ἔχρησεν ἦσαν πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι. (Ἄλλως. περὶ τῆς παροιμίας ταύτης Δήμων οὕτω φησὶ «τῶν Καρῶν περὶ τοῦ πολέμου πρὸς τοὺς Ἀμπρακιώ«τας βουλευσαμένων, ἀλκιμωτάτους ὄντας τῶν ἐν πο«λέμῳ γειτόνων, τίνας χρὴ ποιεῖσθαι συμμάχους, οἱ «μὲν τοὺς Μιλησίους ἡγοῦντο δεῖν παρακαλεῖν· καὶ «γὰρ εὐημέρουν [τότε] μάλιστα τῶν περιοίκων καὶ »[διὰ τὸ] γειτνιᾶν τῇ Καρίᾳ τὴν τούτων χώραν· οἱ δὲ «διαλύσασθαι πρὸς τοὺς Πέρσας συνεβούλευον, τὴν «τούτων ἀρχὴν μεγίστην γεγονέναι φάσκοντες καὶ πάν«των ἀλκιμωτάτους εἶναι κρατοῦντας τῆς Ἀσίας. ἔδο«ξεν [οὖν] τοῖς Καρσὶν ἐρωτῆσαι τὸν Ἀπόλλωνα πότε«ροι τὸν χρησμὸν ὀρθῶς ἐκλαμβάνουσι. τὸν δὲ θεὸν «ἀποκρίνασθαι πάλαι πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι. «τοῦ δὲ χρησμοῦ διαδοθέντος εἰς τὰς Ἀσιάτιδας πό«λεις, οἱ μὲν Μιλήσιοι τὴν προφῆτιν αἰτιασάμενοι «διεφθάρθαι χρήμασιν ὑπὸ τῶν μηδιζόντων πανδημεὶ «τοῖς Καρσὶ βοηθήσαντες, καὶ τοῖς Πέρσαις μετ' ἐκεί«νων συμβαλόντες, σχεδὸν ἅπαντες ἀπέθανον. τὸν δὲ «χρησμὸν διὰ τὴν ἀλήθειαν εἰς παροιμίαν ἐλθεῖν φασι». Ἄλλως. ἰσχυροί ποτ' ἦσαν οἱ Μιλήσιοι, [ὡς] καὶ Ἀνακρέων φησί. πολεμουμένους γὰρ Κᾶρας ὑπὸ Δαρείου τοῦ Ὑστάσπου, τοῦτον λαβεῖν τὸν χρησμὸν, πυνθανομένους εἰ προσλάβοιεν [συμμάχους] τοὺς Μιλησίους. ὁ δὲ νοῦς τοῦ λεγομένου τοιοῦτος,) ἀντὶ τοῦ πάλαι συνῆν σοι, νῦν δὲ οὔ. εἴρηται δὲ ἡ παροιμία ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονούντων νῦν δὲ ἀτυχούντων. —ἄλκιμοι: Ἰσχυροί. Θ. Dv. οἱ Μιλήσιοι πάλαι ἐπ' ἀνδρίᾳ θαυμαζόμενοι, καὶ σύμμαχοι τοῖς βουλομένοις ἐγίγνοντο. ἐλθόντες οὖν τινὲς εἰς τὸν Ἀπόλλωνα, καὶ πυνθανόμενοι αὐτοῦ, εἰ δέῃ Μιλησίους συμμάχους λαβεῖν, χρησμὸν ἔλαβον, ὅτι «πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι·» ἐπεκράτησε δὲ τοῦτο εἰς παροιμίαν. Dv. δῆλον: Φανερόν.

sch plut 1003 μοχθηρὸς: Ἤγουν κακότροπος. Dv. ⟦ ἥδεται φακῇ: Εἰκότως παρεικάζει φακῇ τὴν γραῦν διά τε τὸ τοῦ ὀσπρίου χαῦνον· τοιαῦται γὰρ καὶ αἱ γρᾶες· καὶ διὰ τὸ ἐσθίειν φακῆν τὰς γραῦς οὐκ ἐχούσας ὀδόντας.

sch plut 1004 ⟧ —ἔπειτα: Μετὰ ταῦτα. Dv. πλουτῶν: Πλοῦτον ἔχων. P. ἥδεται: Εὐφραίνεται. Dv. φακῇ: Ἐσθίων. P. πρὸ τοῦ: Πρότερον, πρῶτον.

sch plut 1005 κατήσθιεν: Ἔτρωγεν. Dv. ὁσημέραι: Πάντοτε.

sch plut 1006 νὴ τὼ θεὼ: Τοὺς θεούς. Θ. τὸν Ἔρωτα καὶ τὴν Ἀφροδίτην. Dv. ἐπ' ἐκφορᾷ: πρὸς τὸ ἐκφέρειν καὶ λαβεῖν.

sch plut 1008 R. V. ἤγουν ἐπ' ἐξαγωγῇ τινος πράγματος. Dv. τοῦ ἐξαγαγεῖν σε ὡς νεκράν. P. ἐκφοράν: Ἐνταφιασμόν. Br. ἐρῶν: Οὐ τῆς φωνῆς σου ἐρῶν ἀκοῦσαι ἤρχετο.

sch plut 1009 Θ. ἐπιθυμῶν. λαβεῖν: Μᾶλλον ἕνεκα. P. αἴσθοιτο: Νοήσειε.

sch plut 1010 Dv. νιτάριον καὶ βάτιον: εἴδη φυτῶν εἰσι τό τε νιτάριον καὶ ὁ βάτος.

sch plut 1011

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θέλει δὲ εἰπεῖν ὅτι ὡς ἄνθη με εἶχε. (Σύμμαχος δέ φησιν ὅτι Νιτάριος ἐπὶ μαλακίᾳ διαβάλλεται καὶ ἐν τοῖς ἑξῆς δράμασιν, ὁμοίως καὶ ὁ Βάτος. καὶ τὰς μικρὰς δὲ θηλείας βατύλας ἔλεγον. καὶ Θεοπόμπου δρᾶμά ἐστι Βατύλη. [Δίδυμος δέ φησιν ὑποκορίσματα πρὸς γυναῖκας· νιτάριον δὲ, νεόττιον, οἱονεὶ κοράσιον.] Ἄλλως. φιλοφρονητικὴ ἡ προσφώνησις. Νιτάριος δὲ πορνοβοσκὸς ἐγένετο. Ἄλλως. Νιτάριος τῶν ἐπὶ μαλακίᾳ σκωπτομένων. τὸ δὲ βᾶτον ἐκτεταμένως εἴρηται παρὰ τὸ βάταλον τὴν ἕδραν, τὸ δὲ συνεσταλμένως ἀναγινώσκειν ἀνόητον. ἢ δύναται βᾶτον ἀντὶ τοῦ τρυφερὸν καὶ μαλακὸν, οἷος ὁ βάτος τὸ ἰχθύδιον.) —Νίταρος καὶ Βάτος ἄνδρες ἦσαν θηλυπρεπεῖς καὶ ὡραῖοι· παρῄκαζεν οὖν αὐτὴν τούτοις ὑποκοριζόμενος· ἄλλοι δὲ νιτάριον καὶ βάτιον φασὶν εἴδη ἀνθέων, ἵνα λέγοι, ὡς ἄνθη με εἶχεν καὶ ἐκολάκευεν. Dv. νιττάριον καὶ βάτιον εἶδος φυτῶν. θέλει οὖν εἰπεῖν, ὅτι ἄνθη με εἶχεν, ἀντὶ τοῦ οὖν τοῦτο ἢ μετὰ τὸ εἰπεῖν λέγει νιττάριον καὶ βάτιον ἤγουν ὥσπερ ταῦτα τὰ ἄνθη, ἃ καλοῦσι νιττάριον καὶ βάτιον. P. ὑπεκορίζετο: Ὑποκοριστικῶς ἐκολάκευεν. Θ. ὑποκοριστικῶς ἔλεγε. Dv. ὑποκοριστικῶς ἐλάλει. P. ᾔτης’: Ἐζήτησεν.

sch plut 1012 Dv. P. μυστηρίοις τοῖς μεγάλοις: Ἐπεί ἐστι καὶ μικρὰ μυστήρια γινόμενα δι’ Ἡρακλέα.

sch plut 1013 Ἡρακλῆς γὰρ ἐπιστὰς ἠξίου μυεῖσθαι. ἔθος δὲ ἦν τοῖς Ἀθηναίοις ξένον μὴ μυεῖν· μὴ βουλόμενοι οὖν λῦσαι τὸ ἔθος μηδὲ ἀπῶσαι τὸν εὐεργέτην [Ἡρακλέα], ἐπενόησαν μικρὰ μυστήρια εὐμετάδοτα. ⟦ ὀχουμένην: Ὄχος ποιητικῶς τὸ ἅρμα τὸ ἐκ τῆς ἁμάξης κατεσκευασμένον, καὶ ὑπὸ τῶν ἵππων κινούμενον καὶ ὀχούμενον· καὶ ὀχοῦμαι τὸ ἐπὶ ἅρματος τοιούτου φέρομαι. ⟧ —ὀχουμένην: Ἐπικαθημένην, φερομένην. Θ. καθημένην. (πορευομένην Dv.) Dv. P. ⟦ ἐπὶ τῆς ἁμάξης: Αἱ γὰρ τῶν Ἀθηναίων γυναῖκες ἐπὶ ἁμαξῶν ὀχούμεναι εἰς τὰ μεγάλα Ἐλευσίνια ἀπήρχοντο.

sch plut 1014 ὡς ἐπὶ ἁμαξῶν οὖν ὀχουμένων αὐτῶν, ἐπὰν εἰς Ἐλευσῖνα βαδίζωσιν εἰς τὰ μεγάλα μυστήρια, καὶ λοιδορουσῶν ἀλλήλας ἐν τῇ ὁδῷ τοῦτο εἶπεν· ἔθος γὰρ ἦν αὐταῖς τοῦτο. ⟧ —ἐπὶ: Ἐπάνω. ὅτι· Διότι ἔβλ. πρὸς ἐμέ. P. προσέβλεψε: Ἔνευσεν, ἐθέασεν. Dv. ἐτυπτόμην: Ἐδερόμην.

sch plut 1015 Dv. διὰ τοῦθ’: Διὰ τὸ προσβλέψαι. ὅλην: Δι’ ὅλην. P. Ἐν τῇ οἰκείᾳ διαγράφεται δηλονότι.

sch plut 1017 V. μόνος: Μεμονωμένος. P. ἥδεθ’: Εὐφραίνεται. ὡς ἔοικεν: Ὡς φαίνεται. ἐσθίων: Ἀναλίσκων τὰ σά. Dv. παγκάλους: Ἐπιτηδείους.

sch plut 1018 Dv. ὡραίας καὶ ἡδεῖς. P. προτείνοιεν: Αὐτῷ.

sch plut 1019 Θ. δώσει ἐν αὐτῷ. Dv. παράσχοιεν. P. δραχμὰς: Νομίσματα. Θ. νομίσμασιν. Dv. ὄζειν: ἀντὶ τοῦ ὀσμὴν ἡδεῖαν ἔλεγεν εἶναι ἀπὸ τοῦ σώματός μου.

sch plut 1020 R. V. ἀπὸ τῆς χρόας ἔλεγε γλυκύ. ἐλέγετο ὄζειν τῆς χρόας ἐμοῦ ἡδὺ, ἀντὶ τοῦ ἐκ τῆς χρόας ὀσμὴν ἡδεῖαν ἀποπέμπεσθαι, ἤτοι ἡδυτάτην εἶναι τὴν ἀπὸ τοῦ σώματός μου ὀσμὴν φερομένην. P. ὄζειν δὲ τὰς χρόας ἔφασκεν ἡδύ μου: Ὀσμὴν ἐξιέναι ἀπὸ τοῦ σώματος. C. ὀδμὴν εὐώδη πέμπειν. Θ. εἰ Θάσιον ἐνέχεις: Ἐκεῖ γὰρ ἐν Θάσῳ ᾤκει Στάφυλος ὁ ἐρώμενος τοῦ Διονύσου· διαφέρει γὰρ ὁ Θάσιος οἶνος.

sch plut 1021 τὸ δὲ ἐνέχεις ἀντὶ τοῦ ἐκίρνας. —Θάσιον: Οἶνον δηλ. ἐνέχεις: Ἐκίρνας. Θ. Dv. P. εἰκότως: Ἐποίει τοῦτο. Θ. ἔλεγε τοῦτο. Dv. μαλακὸν καὶ καλόν: Ἤπιον καὶ χαρίεν.

sch plut 1022 Θ. Dv. ἥμερον καὶ ὡραῖον. P. σκαιὸς: Ἀπαίδευτος, μωρὸς, ἀνόητος.

sch plut 1023 P. ἠπίστατο: Ἐγίνωσκε. Dv. ⟦ γραὸς καπρώσης τἀφόδια: Ἐρωτομανοῦς, μαχλώσης, ὀρεγομένης συνουσίας τὰ ἀναλώματα, τὴν οὐσίαν.

sch plut 1024 ἔφοδος θηλυκῶς, ἡ ἐπέλευσις τινός· ἐφόδιον δὲ οὐδετέρως, καὶ ἐφόδια πληθυντικῶς, τὰ ἐν τῇ ὁδῷ κυρίως γινόμενα ἀναλώματα. ἐνταῦθα δὲ ἁπλῶς λέγει τὰ ἀναλώματα. ⟧ —καπρώσης: Ἐρωτομανοῦς. Θ. Dv. μαινομένης, συνουσίας ὀρεγομένης. P. τἀφόδια: Τὰ ἀναλώματα· Dv. τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναλώματα τὰ περὶ τὴν οὐσίαν. P. ἐφόδια λέγονται κυρίως ἃ ἔχει τις εἰς δαπάνην ἐν τῇ ὁδῷ· νῦν δὲ καταχρηστικῶς τὰ περιόντα αὐτῆς πράγματα· ἐποίησε δὲ τοῦτο, ἵνα διὰ τῆς συναλοιφῆς καὶ τὰ πράγματα, καὶ τὰ κόπρια νοῶνται. Dv. ἐφόδια λέγονται τὰ κατὰ τὴν ὁδὸν συντείνοντα. P. κατεσθίειν: Δαπανᾶν. Dv τὸ ὦ φίλ’ ἄνερ σκωπτικῶς κατὰ τῆς γραός.

sch plut 1025 P. φάσκων βοηθεῖν: Καίπερ λέγων βοηθεῖν τοῖς ἀδικουμένοις, τοὐναντίον ποιεῖ, ἐκείνου τοῦ ἀδικοῦντός με προϊστάμενος.

sch plut 1026 ⟦ ἐπειδὴ τοῖς δικαίοις, ὡς ἀδικουμένοις, προσεκλίθη. ⟧ —καίπερ αὐτὸς λέγων. Dv. ποιήσει: Ὁ Πλοῦτος δηλ.

sch plut 1027 P. πεπράξεται: Πραχθήσεται. Dv. μετ’ ὀλίγον πραχθήσεται. P. ἀναγκάσαι: Βιάσασθαι, διεγεῖραι.

sch plut 1028 P. ἀναγκάζομαι, βιάζομαι. τὸ μὲν λέγεται ἐπὶ ἐμψύχων, τὸ δὲ, ἤγουν τὸ βιάζομαι, ἐπὶ ἀψύχων. ἔστι δ’ ὅτε θάτερον ἀντὶ θατέρου λαμβάνεται. P. νὴ: Μά. Dv. εὖ παθόνθ’: Εὐεργετηθέντα.

sch plut 1029 P. ἢ μηδοτιοῦν δίκαιον: Ἢ δίκαιόν ἐστι μηδ’ ὁτιοῦν ἀγαθὸν ἔχειν τὸν νεανίσκον.

sch plut 1030 —δηλονότι ἄλλους πένεσθαι. Θ. ἢ μηδ’ ὁτιοῦν: Ἤγουν εἰ μὴ ἀντευποιήσει, οὐδὲ ἓν κτλ. ἀγαθόν ἐστ’ ἔχειν: Ἤγουν εὐεργετηθῆναι ὑπὸ τοῦ θεοῦ. P. ἐλλείπει ἐχρῆν. R. οὐκοῦν: Τὸ λοιπόν.

sch plut 1031 ἀπεδίδου: Τοὺς μισθούς. Dv. ἐκείνη μὲν τὸ καταλιπεῖν ἔφη ὅτι οὐδέποτέ με ἔλεγεν ἀφήσειν, ὁ δὲ χορὸς τὸ ἀπολαβεῖν ἔπαιξεν.

sch plut 1032 V. ὀρθῶς γε: Ἀληθῶς λέγεις. (γάρ. Θ.) οἴεται: Νομίζει. Θ. Dv. ἄλγους: Τῆς λύπης.

sch plut 1034 κατατέτηκ’: Λέλυμαι, ἰσχνὴ γέγονα. Dv. ἀντὶ τοῦ ἠφανίσθην. P. ἀλλὰ κατασέσηπας: Ὡς καταπεπονημένης αὐτῆς ὑπὸ τοῦ γήρως καὶ τοῦ χρόνου καὶ τῆς λύπης.

sch plut 1035 γελοίου χάριν οὐ κατατέτηκας εἶπεν, ἀλλὰ κατασέσηπας. —οὐκ: Ἤγουν οὐ κατατέτηκας. P. διελκύσαις: Διαβιβάσαις.

sch plut 1036 Dv. οὕτω λεπτή εἰμι. R. ὢν τηλία: (Κοσκίνου κύκλος, ἢ σανὶς πλατεῖα, ἐφ’ ἧς ἀλφιτοπωλοῦσιν.

sch plut 1037 ἐν δὲ τῷ ὑπομνήματι οὕτως· τοῦτο τί ἐστιν οὐκ οἶδα· ὅτι δὲ συμβάλλεται πρὸς τὸ ἐν Μαρικᾷ Εὐπόλιδος, οἶδα· κἀκεῖ γὰρ τὴν Ὑπερβόλου μητέρα τηλίᾳ εἰκάζει τῇ πλατείᾳ σανίδι· τινὲς δὲ τηλίαν ξύλον φασὶ πλατὺ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι. ἄλλοι δὲ τηλίαν τὸ τῆς καπνοδόχης πῶμα, ὅ ἐστι περιφερές. φησὶν οὖν ὅτι διὰ δακτυλίου ἑλκυσθείης, ἐὰν ᾖ ὁ δακτύλιος τηλία. τοῦτο δὲ ὡς παχείας αὐτῆς οὔσης καὶ μὴ δυναμένης διὰ δακτυλίου ἑλκυσθῆναι, ἀλλὰ τηλίας. Ἄλλως. τηλία τὸ πλατὺ ξύλον εἴτε μακρὸν εἴτε ἄλλο τι ἐφ’ ἧς ἄλφιτα πωλοῦσι. ἔχει δὲ καθ’ ἑαυτὸ ἄπορον· ἐὰν δὲ καὶ τὸ ἐν Μαρικᾷ προσέλθῃ, ἔνθα εἰς τηλίαν φησὶ τὰ τοῦ Ὑπερβόλου ὀστᾶ ἐμβεβλῆσθαι, ἀπορώτερον ἔσται· ζητητέον οὖν.) τηλία μὲν γάρ ἐστιν ἡ ἀτρύπητος σανίς· ἐὰν δὲ τρυπηθῇ, ἀψὶς γίνεται. λέγει οὖν, εἰ μὴ ὁ δακτύλιος τοσοῦτον ἔχει τρύπημα, ὡς δοκεῖν εἶναι τηλία, (οὐκ ἂν διέλθοις. Ἄλλως.) σανὶς ἡ λεγομένη κάρδοπος· τηλία δὲ ἡ σηλία, ὥσπερ τὸ σήμερον τήμερον. καὶ δὴ καὶ ἰδίως ἐκαλεῖτο τηλία περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο· καὶ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον ἐν τούτῳ. —εἰ τυγχάνει: Ναὶ, διελκύσει σέ τις δηλ. P. ὁ δακτύλιος: Ὁ γύρος. τηλία: Κοσκινόγυρος. Dv. D. P. κοσκίνου κύκλος. C. κύκλος κοσκίνου. V. (καὶ μὴν τὸ μειράκιον: Πρόσεισιν ὁ παῖς στεφάνους κομίζων τῷ Πλούτῳ διὰ τὸ πεπλουτηκέναι.

sch plut 1038 ) οὗπερ: Οὗτινος.

sch plut 1039 πάλαι: Πρὸ ὀλίγου. Dv. ἔοικε: Φαίνεται.

sch plut 1040 κῶμον: Μέθην. Dv. τὸ ἐπὶ κῶμον βαδίζειν, ἀντὶ τοῦ ἐπὶ μέθην· ὁ γὰρ μεθύων ἐπὶ μέθην βαδίζει αὐτῷ τῷ μεθύειν· καὶ οὐκ ἔστιν ἡ βάδισις αὐτοῦ οὐχ ἕτερον ἢ μέθη. Dv. ἐπὶ κῶμον: Μετὰ μέθην. P. ἔχων: Κρατῶν, φορῶν.

sch plut 1041

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Dv. πορεύεται: Βαδίζει. P. ⟦ ἀσπάζομαι: Κορωνὶς ἑτέρα ὁμοία.

sch plut 1042 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι πεντήκοντα ἓξ, ὧν τελευταῖος ὥσπερ λεπὰς, τῷ μειρακίῳ προσίσχεται. μετὰ δὲ τὸν δέκατον στίχον, κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον. ἔστι δὲ βραχυκατάληκτον, ὡς εἴρηται, τὸ λειπόμενον ὅλου ποδὸς πρὸς ἀπαρτισμὸν τῆς συζυγίας τῶν ποδῶν, ἢ τοῦ μονομέτρου τυχὸν ἢ τοῦ διμέτρου. ἐπὶ τῷ τέλει κορωνὶς, καὶ ἑξῆς τὸ χοροῦ αὖθις. ἐχρῆν γὰρ κἀνταῦθα θεῖναι χορὸν εἰσιόντων ἐντὸς τῶν ὑποκριτῶν, ἄχρις ἄν τις ἕτερος ἐπέλθοι ὑποκριτής. ⟧ (ἀσπάζομαι: Ὡς διὰ χρόνου αὐτὴν ἀσπαζόμενος φησί. μεθύων δὲ οὐ λέγει χαῖρε, ἀλλ' ἀσπάζομαι. ἡ δὲ διὰ τὸ ἄτοπον [δοκοῦν] τῆς προσρήσεως ἐρωτᾷ, τί φησιν.) ἀσπάζομαι: Προσφθέγγομαι. Dv. χαιρετῶ. P. ὡς διὰ χρόνου ἰδὼν αὐτὴν, ἀσπάζομαι φησὶ, καὶ οὐ χαῖρε· ἡ δὲ διὰ τὸ ἄτοπον δοκοῦν τῆς προσρήσεως ἐρωτᾷ τί φησί· «τάλαιν' ἐγὼ τῆς ὕβρεως ἧς ὑβρίζομαι.» LB. διὰ τοῦ ἀρχαία ὡς γραῦν (αὐτὴν) σκώπτει. R. V. τὸ ἀρχαία τὴν γραῦν σκώπτει. ὥσπερ ἀπὸ τοῦ αἴτιος αἰτίου αἰτία, καὶ ἀπὸ τοῦ εὔδιος εὐδίου εὐδία, οὕτω καὶ ἀπὸ τοῦ πολιός πολιοῦ πολιά. πολιὸς ἦν ἀνὴρ, ὁ τὴν πολιὰν ἔχων, ἤτοι ὁ γηραιός. καὶ πολιὰ θρὶξ ἀπὸ τούτου ἡ λευκή. P. πολιὰ: Λευκὴ τὴν τρίχα.

sch plut 1043 Θ. πεπολιωμένη. ταχὺ: Ταχέως. Dv. νὴ τὸν οὐρανόν: Διὰ τὸ καὶ τὸν οὐρανὸν λευκὸν φαίνεσθαι πολλάκις. Θ. τάλαινα: Ἀθλία.

sch plut 1044 Dv. ἔοικε: Ἐπεὶ τοιαῦτά σοι λέγει.

sch plut 1045 Θ. φαίνεται ὁ νεανίας. ἑωρακέναι: Θεάσασθαι. Dv. διὰ τοῦ ο μικροῦ τὸ ἑορακέναι διὰ τὸ μέτρον. R. ἐπεὶ μετὰ ταύτης παλαιᾶς οὔσης πρότερον συνδιῆγεν.

sch plut 1046 V. πολλοῖς: Μεθύσοις.

sch plut 1047 P. μεθύων γὰρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει: Οἱ γὰρ μεθύοντες οὐχ ὁρῶσι.

sch plut 1048 παίζει οὖν, ὅτι ὀξέως ἐθεάσατο τὰς πολιὰς αὐτῆς ὁ νέος, ἀμαυροῦσθαι ὀφείλων τὴν ὄψιν ἐκ τῆς μέθης. μεθύων δέ φησιν, ἐπεὶ καὶ ἐπὶ κῶμον ἀπῄει, ὡς ἔφη. [τοὐναντίον δὲ, εἶπε, τοῖς ἄλλοις πέπονθεν, ἐπειδὴ νήφων οὐκ ἔγνω, ἀλλὰ μεθύων, γραῦν οὖσαν.] —εἰκότως φησὶ τοῦτο οὕτω προσιόντα τὸν νέον ἰδών· οἱ γὰρ μεθύοντες μάλιστα οὐχ ὁρῶσι. παίζει οὖν, ὅτι ταχέως ἐθεάσατο τὰς πεπολιωμένας αὐτῆς τρίχας ὁ νέος ἀμαυροῦσθαι ὀφείλων τὴν ὄψιν ὑπὸ τῆς μέθης. μεθύων δὲ ἔφη, ἐπεὶ καὶ ἐπὶ κῶμον βαδίζειν ἀνωτέρω εἴρηκεν. LB. ὀξύτερον: Διορατικώτερον. Dv. καθαρώτερον. P. ἀκόλαστος: Ἀσελγής.

sch plut 1049 Θ. αἰσχρὸς, ἀναίσχυντος. LB. οὐκ ἔστιν ὅτι ἀπαίδευτος. Dv. ἀπαίδευτος. P. κολάσεως ἄξιος. R. θεοὶ πρεσβυτικοὶ: Οἱ τοῖς πρεσβύταις ἐφιστάμενοι θεοί· ἐπεὶ καὶ ὁ Ποσειδῶν τῶν πρεσβυτέρων ἐστὶ θεῶν, (καὶ οὐχ ὅμοιός ἐστι Διονύσῳ ἢ Ἀπόλλωνι.

sch plut 1050 τὸ δὲ) Ποντοπόσειδον ἢ ὦ πόντιε Πόσειδον ἢ μεταφορικῶς ἀπὸ τοῦ πόντου, ἀντὶ τοῦ ὦ μέγιστε Πόσειδον. (καὶ Σώφρων γάρ φησι πόντος ἀγαθῶν, πλῆθος καὶ μέγεθος θέλων σημᾶναι. Ἄλλως. ἐπεὶ γραῦς ἐστιν αὐτὴ, διὰ τοῦτο καὶ ὁ νεανίσκος πρεσβυτέρους θεοὺς ὤμοσεν, ὡς τοῦ ὅρκου τούτου πρεσβυτικοῦ ὄντος. ἢ ὦ τῶν πρεσβυτέρων ἐπόπται. ἢ οὐ πάντως, ἀλλ' ἐν παιδιᾷ μετ' ἐκπλήξεως φαίνεται καὶ μεγάλης τινὸς ἐμφάσεως χρῆσθαι τούτῳ.) —ὦ Ποντοπόσειδον: Φεῦ βασιλεῦ τοῦ πόντου. Dv. πρεσβυτικοὶ: Γεροντικοί. Θ. Dv. LB. θεοὶ πρεσβυτικοί· οἰκεῖον τῇ γραΐ λέγειν τοῦτο τὸν νέον· καὶ γὰρ γέροντες γέρουσιν ἁρμόζουσι· ἔστι δὲ ὁ Ποσειδὼν τῶν γερόντων καὶ οὐ τῶν νέων, ὥσπερ ὁ Ἀπόλλων καὶ ὁ Διόνυσος, καὶ ὁ Πάν. τὸ δὲ Ποντοπόσειδον ἀντὶ τοῦ, ὦ ἄναξ τῆς θαλάσσης, ἤ, ὦ θαλάσσιε Πόσειδον. LB. πρεσβυτικοὶ θεοὶ οἱ ἀρχαῖοι, οἱ παλαιοί. καὶ γὰρ καὶ πρεσβυτικοὺς θεοὺς ἔλεγον τοὺς ἀρχαίους ὡς πρὸς Διόνυσον ἢ Ἀπόλλωνα. P. τῶν ῥυτίδων: Τῶν ῥυτιδωμάτων.

sch plut 1051

Eulogikon public reading copy · View original HTML at eulogikon.org

LB. ῥυτίδες, ἃς οἱ κοινοὶ λέγουσιν ἐπὶ τοῦ προσώπου ζαρώματα. Vict. ἆ ἆ: Ὡς τοῦ νεανίσκου προσφέροντος τὴν δᾷδα αὐτῇ, τοῦτο λέγει· ἔστι δὲ ἐπίρρημα ἐκπλήξεως καὶ κελεύσεως.

sch plut 1052 —ἆ, ἆ: Ἐπιφώνημα, ἐπίρρημα ἐκπλήξεως. Dv. ἐπίρρημα ἐφεκτικόν. μή μοι πρόσφερε Μηδαμῶς πλησίον ἐμοῦ φέρε. LB. ἔμπροσθεν. Dv. λάβῃ: Καταλάβῃ.

sch plut 1053 LB. ἅψηται. Dv. ὥσπερ παλαιὰν εἰρεσιώνην: ⟦ Εἰρεσιώνη στέμματα πρὸ τῶν πυλῶν περιειλημένα πλακουντικοῖς τισι κολλύροις καὶ ἄλλοις τοιουτοτρόποις τοῖς τε ὡραίοις καρποῖς καὶ ἐλαίας ἀποκρεμάμενα.

sch plut 1054 λιμοῦ γὰρ ἐνσκήψαντος ἀνεῖλεν ὁ θεὸς τὰς εἰρεσιώνας πρὸ τῶν θυρῶν κρεμάσαι. ⟧ (θαλλὸς ἐλαίας, ἢ δάφνης, ἐξ ἐρίων συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον καὶ κοτύλην· ἔστι δὲ μέτρον [ὃ νῦν καλοῦμεν ἡμίξεστον]· καὶ σῦκα [καὶ πάντα τὰ ἀγαθά]. ταύτην δὲ τὴν εἰρεσιώνην πρὸ τῶν οἰκημάτων ἐτίθεντο οἱ Ἀθηναῖοι καὶ κατ᾽ ἔτος αὐτὴν ἤλλαττον· εἰώθει δὲ παῖς ἀμφιθαλὴς ἀμφ᾽ αὐτῇ ταῦτα λέγειν, εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀποψήσασθαι, καὶ κύλικ᾽ εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ. ) Ἄλλως. κλάδος ἦν ἐλαίας ἐρίοις πεπλεγμένος· ἐξήρτητο δὲ αὐτοῦ τὰ ὡραῖα πάντα. ἵστασαν δὲ αὐτὸν πρὸ τῶν θυρῶν κατὰ παλαιὸν χρηστήριον· οἱ μὲν γάρ φασιν ὅτι λιμοῦ, οἱ δὲ καὶ ὅτι λοιμοῦ πᾶσαν τὴν γῆν κατασχόντος ὁ θεὸς εἶπε προηροσίαν τῇ Δηοῖ ⟦ ὑπὲρ ἁπάντων θῦσαι θυσίαν ⟧ Ἀθηναίους· οὗ ἕνεκα χαριστήρια πανταχόθεν ἐκπέμπουσιν Ἀθήναζε [τῶν καρπῶν τὰς ἀπαρχάς]. —πρὸς ἀποτροπὴν τοῦ λοιμοῦ. τελεῖται δὲ ἡ θυσία αὕτη παρὰ τῶν παίδων τῶν Ἀθηναίων. R. ⟦ Ἄλλως. Πυανεψίοις καὶ Θαργηλίοις Ἡλίῳ καὶ Ὥραις θύουσιν Ἀθηναῖοι· φέρουσι δὲ οἱ παῖδες τὰ προκατειλεγμένα ἀκρόδρυα, καὶ ταῦτα πρὸ τῶν θυρῶν κρεμῶσι. κατά τι δὲ χρηστήριον πρὸς ἀποτροπὴν λιμοῦ ταῦτα ἐποίουν. ⟧ —Ἄλλως. στεφανώματα καὶ ἕως τῆς σήμερον ἔχουσιν οἱ Ἑβραῖοι ἐπάνω τῶν τραπεζῶν. τῶν καρπῶν τὰς ἀπαρχὰς ἐν καιρῷ τινι ταύταις ἀνεκρέμνων, ἐν δὲ ἑτέρῳ ἔκαιον. V. παλαιὰν: Κατάξηρον. εἰρεσιώνην: Κλάδον ἐλαίας ξηρόν. LB. ἐλάϊνον κλάδον ἢ στέφανον ἐξ ἀνθέων ἢ κλάδων πεπλησμένων. Θ. στέφανον, κλάδον ἐλαίας. Dv. καύσεται: ἀντὶ τοῦ καύσει. R. ⟦ ποῖ τάλαν: Τὸ ποῖ σκωπτικόν· δηλοῖ γὰρ ἀκολασίας τόπον ζητούσης.

sch plut 1055 —διὰ χρόνου: Διὰ πολλοῦ. πρός με: Εἴς με. παῖσαι: Ἀπὸ τοῦ παίω, γράφεται παῖξαι. P. ἀπὸ τοῦ παίζω παῖξαι. τὸ δὲ παῖσαι ἀπὸ τοῦ παίω ἐφ᾽ ἑτέρου. V. παῖξαι Ἀττικῶς. Θ. ποῖ τάλαν: Οὐκ ὦ ἄθλιε. LB. ⟧ παιδιὰν τίνα: Οὕτως Ἀττικοὶ βραχυκαταλήκτως καὶ παροξυτόνως ἐπὶ τοῦ παιγνίου.

sch plut 1056 —αὐτοῦ: Ἐνταῦθα. Dv. ἐν αὐτῷ τῷ τόπῳ. P. κάρυα: Καρύδια. παιδιὰν τίνα: Παίγνιον ποταπόν. LB. πόσους ἔχεις ὀδόντας: Δέον εἰπεῖν κάρυα, εἶπεν ὀδόντας, ὡς πρὸς γραῦν.

sch plut 1057 —τοῦτο παρ᾽ ὑπόνοιαν εἶπε κωμῳδῶν αὐτὴν ὡς πάνυ γραίαν· ἔδει γὰρ εἰπεῖν, πόσα ἐν χερσὶν ἔχω, ὥσπερ εἰώθασι λέγειν οἱ τὰ ἄρτια περισσὰ παίζοντες. Junt. (Ἄλλως.) ἀντὶ τοῦ, πόσα ἔχεις κάρυα. παιδιὰ γάρ ἐστι τοιαύτη· δραξάμενός τις καρύων καὶ ἐκτείνας τὴν χεῖρα ἐρωτᾷ, πόσα ἔχω; καὶ ἐὰν ἐπιτύχῃ, λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί· ἐὰν δὲ ἁμάρτῃ κατὰ τὴν ἀπόκρισιν, ἀποτίνει ὅσα ἂν ὁ ἐρωτήσας εὑρεθείη ἔχων ἐν τῇ χειρί. —γνώσομαι: Γνωρίσω. P. ἀπότισον: Ἀπόδος, ἡττηθεῖσα τὸ συμπεφωνημένον.

sch plut 1059 LB. ἀπόδος. Θ. συνθηκοποίησον. V. γόμφιον: Γονιαῖον ὀδόντα. Θ. LB. γωνιακὸν ὀδόντα. Dv. P. φορεῖ: Φέρει. Θ. ταλάντατ᾽: Ἀθλιώτατε.

sch plut 1060 Θ. ὑγιαίνειν: Τὸν νοῦν. Dv. ὑγιῶς ἔχειν τὸν νοῦν. P. πλυνόν με ποιῶν: Ἐφύβριστον πλῦμα.

sch plut 1061 πλυνὸς δὲ ὀξυτόνως τὸ ἀγγεῖον αὐτὸ, παροξυτόνως δὲ τὸ πλυνόμενον. —πλυνόν: Ἐφύβριστον· πλυνὸς λεκάνη. Dv. ἄτιμον· πλυνὸς γὰρ ἡ λεκάνη ἐν ᾗ τὰ ἱμάτια πλυνόμενα ἀφιᾶσι τὸν ῥύπον. Θ. ἄτιμον. LB. ἐφύβριστον, καταπεπλυμένην ὀνείδεσι καὶ μυκτηρισμοῖς. Br. ἐφύβριστον ἤτοι καταπεπατημένην. P. καταγελᾷς τὸν ἀσχήμονα. V. ὄναιο: ὠφελείας τύχοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 1062 R. ὠφεληθείης. Θ. Dv. ἐκπλύνειε: κακεμφάτως (ἐπὶ συνουσίας) εἶπε τὸ ἐκπλύνειέ σε. R. V. ἀποκαθαρεῖ. ἐπὶ συνουσίας εἶπεν ἐκπλύνειέ σε. P. αἰσχρῶς νοητέον τὸ ἐκπλύνειέ σε ἐπὶ συνουσίᾳ. Θ. καπηλικῶς ἔχει: Ἀντὶ τοῦ πανουργικῶς· ἐπεὶ οἱ κάπηλοι (χρίειν καὶ ἀναποιεῖν τὰ ἱμάτια εἰώθασι.

sch plut 1063 καὶ) τὸν οἶνον δὲ ὀνθυλεύουσι, συμμιγνύντες αὐτῷ σαπρόν. —κομμωτικῶς καὶ ἐψιμυθισμένως ἔχει, καὶ οὐ τὴν κατὰ φύσιν χροιὰν ἔχουσα, ἀλλὰ νόθον καὶ ξένην. Θ. Junt. οὐ δῆτ’: Οὐδαμῶς. Dv. καπηλικῶς: Κομμωτικῶς ὀφείλων κἀνταῦθα εἰπεῖν, καπηλικῶς πάλιν εἶπε παίζων. LB. πανουργικῶς. P. ἔχει: Διάκειται. Dv. ἐκπλυνεῖται: Ἐκπλυνθείη.

sch plut 1064 LB. ἀποπεσεῖται. Paris. ὄψει κατάδηλα: Θεάσῃ λίαν φανερά.

sch plut 1065 LB. ὄψει: Θεάσεις. κατάδηλα: Τὰ φανερά. P. τὰ ῥάκη: τὰς ῥυτίδας. R. τὰς ῥυτίδας τὰς ἐπιδιπλώσας τοῦ δέρματος. Θ. ἤγουν τὰς ῥυτίδας. LB. ῥυτιδώματα. P. ῥάκος τὸ διερρηγμένον ἱμάτιον· μεταφορικῶς οὖν φησιν ἐνταῦθα ῥάκη, ἤγουν τὰς ῥυτίδας τοῦ διεφθαρμένου αὐτῆς προσώπου ὑπὸ τοῦ γήρως. LB. ὑγιαίνειν: Ὑγιῶς ἔχειν.

sch plut 1066 Dv. πειρᾷ: Συνουσιάζει σε.

sch plut 1067 LB. συνεύει. Θ. Dv. P. τιτθίων: Τῶν μαστῶν. LB. Θ. Dv. P. ὡς πόρνη τὴν Ἀφροδίτην ὄμνυσιν.

sch plut 1068 τῶν μαστῶν ἐφάπτεται. ἀναίσχυντε, λάγνε. Θ. οὐκ ἐμοῦ γ’: Ἐφάπτεται. βδελυρὲ: Μισητὲ, ἀναίσχυντε. LB. εἰ ἡψάμην τῶν τιτθίων.

sch plut 1070 R. τὴν Ἑκάτην οὗτος ὡς σώφρων ὄμνυσιν. Θ. ὡς σώφρων. Dv. οὐ δῆτα: Οὐδαμῶς ἐφάπτομαι αὐτῆς. LB. οὐκ ἐῶ: Οὐκ ἐφίημι.

sch plut 1071 LB. οὐκ ἐάσω. Dv. τὴν μείρακα: Παίζει μείρακα τὴν γραῦν ὀνομάζων. Θ. τὴν γραῦν. LB. ὑπερφιλῶ: Λίαν φιλῶ αὐτήν.

sch plut 1072 LB. ὑπὲρ: Λίαν. Dv. τί κατηγορεῖ: Ἐμοῦ ἡ γραῦς.

sch plut 1073 LB. ὑβριστὴν: Ἀλαζόνα.

sch plut 1074 LB. πάλαι ποτ’ ἦσαν ἄλκιμοι Μιλήσιοι: τινὲς τοῖς Κυπρίοις φασὶ τοῦτο ῥηθῆναι βουλομένοις ἔχειν συμμάχους.

sch plut 1075 R. Θ. τὸ τί: Οἱ χαλεπαίνοντες οὕτως ἔλεγον, τὸ τί.

sch plut 1076 —ἐγὼ: Οὐκοῦν. οὐ μαχοῦμαι: Οὐ διενεχθήσομαι. Dv. Οὐ μαχέσομαι. LB. εἰ βούλει λαβεῖν ταύτην εἰς γυναῖκα. Θ. τὸ τί: Οὐ μαχέσῃ ἐμοί; LB. αἰσχυνόμενος: Ἐντρεπόμενος, εὐλαβούμενος.

sch plut 1077 LB. τὴν ἡλικίαν: Τὸ σὸν γῆρας. Θ. Dv. τοῦτ’: τὸ συνουσιάζειν.

sch plut 1078 R. P. ἐπέτρεπον: Ἐνεδίδουν. LB. συνεχώρουν, ἐνεδίδουν. P. ποιεῖν: Ὃ βούλεται. LB. συλλαβὼν: Μετὰ σοῦ.

sch plut 1079 τὴν μείρακα: Τὴν γραῦν. LB. τὸν νοῦν: Ὃ λέγεις.

sch plut 1080 ἀξιοῖς: Ἄξιον κρίνεις. LB. οὐδαμῶς ἄξιον κρίνεις συνοικεῖν. P. ὁ δ’ ἐπιτρέψων: Ἀντὶ τοῦ ⟦ τίς αὐτὸν ἐᾷ ἀναχωρῆσαι; ἢ αὐτὸς ὁ Χρεμύλος, ὅτι οὐ συγχωρῶ σοι ἐᾶσαι αὐτήν.

sch plut 1081 δύναται δὲ τὸ, ὁ δ’ ἐπιτρέψων, τοῦ νεανίσκου εἶναι, ἵν’ ᾖ ⟧ τίς μοι ἐπιτρέψει συνεῖναι αὐτῇ; εἶτα ὡς παραιτούμενος ἐπιφέρει, ὅτι οὐκ ἂν αὐτῇ διαλεχθείην διεσπεκλωμένῃ ⟦ ἤγουν ἐξηραμμένῃ, γαμηθείσῃ, ἐν τῇ συνουσίᾳ κατατετριμμένῃ, ἢ ἀχρήστῳ πρὸς συνουσίαν διὰ τὸ γῆρας ⟧ . σπεκλοῦν γὰρ τὸ συνουσιάζειν, παρὰ τὸ πλέκεσθαι· σπέκλωμα γὰρ ὁ ἦχος τῆς συνουσίας. ἢ διαλελυμένῃ, κυρίως ἐπὶ σχοινίων τῶν πλακέντων, εἶτα διαλυθέντων ἐν χρόνῳ. ἢ ὑπεσπληνισμένῃ. διεσπεκλωμένῃ οὖν, πρὸς συνουσίαν ἀχρήστῳ γενομένῃ καὶ πεπαλαιωμένῃ καὶ ὑπὸ πολλῶν ἐν συνουσίᾳ τετριμμένῃ. ⟦ τὸ σπεκλοῦν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν, οὐχ ὡς προηγουμένως τοῦτο σημαῖνον, ἀλλ’ ὅμοιον πολλοῖς συμβολικοῖς ὀνοματοποιοῦντες, καὶ

μάλιστα ἐφ’ ὧν τὸ εὐθυρρημονεῖν ἐνίσταται. ]] —εἶναι μετ’ αὐτῆς: Καὶ διὰ τοῦτο ταῦτά φησι τοῦτον λαβεῖν με. Θ. διὰ τοῦτο ταῦτα φής. Dv. ὁ δ’ ἐπιτρέπων: Ὁ ἄδειαν διδούς. LB. ἐπιτρέψων: Λαβεῖν. Dv. συγχωρήσων. P. διαλεχθείην: Ὁμιλήσαιμι.

sch plut 1082 Br. P. διεσπεκλωμένη: Ὦ γεγαμημένη. LB. γαμηθείσῃ. P. γεγαμημένη. σπέκλωμα γάρ ἐστιν ὁ τῶν ὄρχεων κτύπος. Θ. συνουσιασμένη, διεφθαρμένη. C. οὐκ ἂν διαλεχθείην διεσπεκλωμένη· ἢ ὑπὸ τῆς συνουσίας ἠφανισμένη. ἔχει δὲ τὴν παραγωγὴν ἀπὸ τοῦ πλέκω, καὶ ἀπὸ τοῦ πλέγμα· καὶ κατὰ μετάθεσιν πέκλωμα. δύναται δὲ καὶ κλητικὴ εἶναι τὸ ἐσπεκλωμένη καὶ δοτικὴ, οὕτως, ὦ διεσπεκλωμένη, οὐκ ἂν διαλεχθείην σοι· καὶ, οὐκ ἂν διαλεχθείην σοι τῇ διεσπεκλωμένῃ, καὶ τὰ ἑξῆς. LB. [ὑπὸ μυρίων ἐτῶν: Λείπει ἀνδρῶν.

sch plut 1083 ὁ δὲ γέρων τὸ ἐτῶν προσέθηκε, σκώπτων (αὐτὴν) ὡς γραῦν.] — λίαν πολλῶν πολιτῶν. LB. χρόνων ἢ πολιτῶν. Dv. πολιτῶν. P. καὶ τὴν τρύγα σε: Πολλάκις καὶ τὸν νέον οἶνον τρύγα ἐκάλουν· νῦν δὲ οὐχ οὕτως, ἀλλ’, ὡς ἡμεῖς, τὴν ὑποστάθμην.

sch plut 1085 —συνεκποτέ’ ἐστὶ: Ἀντὶ τοῦ συνεκποτέον. Dv. συνεκποτέον ἔστι: Ἄξιον ἐστὶ ἐκπιεῖν. LB. τὴν τρύγα: Τὴν ὕλην. Dv. τὴν τοῦ οἴνου ὕλην. Θ. LB. κομιδῇ: Λίαν (Θ).

sch plut 1086 σαπρά: Σεσαπρωμένη. LB. οὐκοῦν τρύγοιπος: Ὁ ὑλιστὴρ [ὁ σάκκινος.

sch plut 1087 πρὸς ἃ οὖν εἶπεν ὁ νεανίσκος, ἀπήντησεν ὁ γέρων]. — οὐκοῦν: Τὸ λοιπόν. τρύγοιπος: Τὸ σακελιστήριον. ἤγουν τὰ αὐτῆς χρήματα. Θ. Dv. τρύγιπος: Σακελιστήριον. LB. τρύγιπος: Τρὺξ τρυγὸς ἡ τοῦ οἴνου ὕλη· τρύγοιπος δὲ λέγοιτ’ ἂν κυρίως, δι’ οὗ τὴν ὕλην τοῦ οἴνου σακελίζομεν. LB. εἴσιθ’ εἴσω: Εἴσελθε ἐντός.

sch plut 1088 τῷ θεῷ: Τῷ Πλούτῳ. LB. ἀναθεῖναι: Ἀναθῆσαι.

sch plut 1089 τούσδ’ οὓς ἔχω: Τούτους οὕστινας κρατῶ. LB. αὐτῷ: Τῷ θεῷ.

sch plut 1090 LB. ὁ Χρεμύλος ἢ ὁ θεράπων.

sch plut 1091 R. οὐκ εἴσειμι: Οὐκ εἰσελεύσομαι. LB. P. εἰσέρχομαι. Dv. θάρρει: Ἔχε θάρρος. LB. ἢν αὐτὴ εἰσέλθῃ. Θ. [οὐ γὰρ βιάσεται: Ὃ ποιοῦσιν οἱ ἄνδρες, τοῦτο ἐπὶ τῆς γραός φησιν, οὐ γὰρ βιάσεταί σε ἡ γραῦς.

sch plut 1092 ] — τὸ βιάσεται ἐπὶ ἀνδρός· Dv. οὐ γὰρ βιάσεται: Σε ὁ νέος, ὥστε μὴ εἰσελθεῖν. LB. οὐ καθελκύσαι παρὰ γνώμην. P. ὑπεπίττουν χρόνον: Πίσσειν τὸ λέπος περιαιρεῖν τῶν κριθῶν.

sch plut 1093 ἢ ἀντὶ ... V. ἀντὶ τοῦ ἠσέλγουν, ἢ κατεφίλουν. πιττοῦν δέ ἐστι κυρίως τὸ τὰς πλατείας ναῦς πίσσῃ χρίειν· ἔνθεν οὖν μετήνεγκε τὴν λέξιν. (ἢ ἀντὶ τοῦ ἐβίνουν, συνῆλθον.) —ἱκανὸν: Ἀρκετόν. P. ὑπεπίττουν: Ἐγάμουν. LB. Dv. Br. πρότερον ἐπίττουν· ἤγουν ἠσέλγαινον, κατεφίλουν, ἐσυνουσίαζον· πιττοῦν δὲ κυρίως τὸ πίττῃ χρίειν τὰς ναῦς. LB. ἐπέραινον, συνουσιαζόμην. P. ἀντὶ τοῦ ἐγάμουν κατ’ εὐφημισμόν. Θ. ἐπίττων: Τουτέστιν ἐφίλουν, ἐμιγνύμην, πιττῶ δὲ κυρίως ἐστὶ τὸ τὰς νῆας πίσσῃ χρίω, καὶ τὸ τὰ διερρωγότα τῶν ξύλων ἑνοῦν. C. βάδιζ’: Ἀπέρχου.

sch plut 1094 κατόπιν: Ὄπισθεν. LB. Dv. ὡς: Λίαν.

sch plut 1095 εὐτόνως: Ἰσχυρῶς (Θ. P ). τὸ γραΐδιον: Ἡ γραῦς αὕτη. LB. συνίζησις. Dv. ὥσπερ λεπὰς: (Ὥσπερ ὄστρεον ἐν πέτρᾳ προσκολλώμενον δυσαπόσπαστόν ἐστι, οὕτως αὕτη τῷ νεανίᾳ προσέφυσε.

sch plut 1096 λεπὰς δέ ἐστιν εἶδος ὀστρέου τὸ καλούμενον πατέλιν,) ὃ ταῖς πέτραις προσπήγνυται, δυσαποσπάστως ἔχον, ἐπειδάν τις αὐτοῦ βουληθείη λαβεῖν. (εὐεπίφορος δέ ἐστιν εἰς τὸ λεπὰς ὁ Ἀριστοφάνης.) ἔστι δὲ τὸ λεπὰς εἶδος ἰχθύος. παρ’ ὑπόνοιαν δὲ εἶπεν (ὥσπερ λεπὰς τῷ μειρακίῳ). —ὥσπερ: Καθά. λεπὰς: Εἶδος ὀστρέου. Dv. LB. παταλίδας. P. ἡ λεπὰς εἶδος ὀστρέου ἐστίν· ἥτις ἐμπεφυκυῖα τοῖς θαλασσίοις βράχεσιν ἔχεται αὐτῶν ἄγαν ἰσχυρῶς. LB. λεπάς ἐστιν εἶδος ὀστρέου, ὅπερ λαβόμενον πέτρας ἀπισχυρίζεται καὶ δυσαποσπάστως ἔχει. καὶ οὐκ ἄν τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸ ῥᾳδίως ἀποσπάσαι, πρὶν ἄν τι τῆς πέτρας ἀπορρήξῃ μέρος. τοῦτο καὶ ἐπὶ τοῦ πολύποδος λέγεται. C. D. λεπάς ἐστιν εἶδος ὀστρίου· ὃ ταῖς πέτραις πεσὸν, ἐκείνων ἰσχυρῶς ἐξέχεται καὶ δυσαποσπάστως ἔχει. ἣν οἱ κοινοὶ παταλίδαν καλοῦσιν. P. τῷ μειρακίῳ: Τῷ νέῳ. LB. τῇ πέτρᾳ. Dv. προσίσχεται: Προσκολλᾶται. LB. Dv. P. ⟦ τίς ἔσθ' ὁ κόπτων: Κορωνὶς ἑτέρα ὁμοία· οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οδ', ὧν τελευταῖος ἵν' εὐθέως διακονικὸς εἶναί μοι δοκῇς.

sch plut 1097 ἐπὶ τῷ τέλει κορωνίς. ⟧ τουτὶ τί ἦν: Ὁ Ἑρμῆς ἔκοψε, καὶ ἐξελθὼν ὁ Καρίων οὐδένα εὗρε. (παρ' ὀλίγον γὰρ ὑπεχώρει.) ⟦ τὸ θύριον καὶ οὐ θυρίον. τὰ γὰρ εἰς ον οὐδέτερα ἀπὸ βραχέος ἀρχόμενα προπαροξύνονται, οἷον, ἔριον, θύριον, ὅριον, καὶ ἕτερα. ⟧ ὁ κόπτων: Ὁ κρούων. Dv. κρούων, Ἀττικῶς. Θ. κόπτει τις τὴν θύραν, ὅταν ἔξωθεν κρούῃ· ψοφεῖ, ὅταν ἔσωθεν. Dv. ὁ κόψας: Ὁ κρούσας. LB. κόπτειν, ψοφεῖν, καὶ κλαυσιᾷν τὴν θύραν διαφέρει· κόπτειν μὲν γὰρ λέγεται, ὅταν εἰσιέναι τις μέλλῃ, καὶ τὴν θύραν ἔξωθεν πλήττῃ· ὡς τὸ, «τίς ἔσθ' ὁ κόψας τὴν θύραν;» ψοφεῖν δὲ, ὅταν ἐξερχόμενός τις αὐτὴν ὑπανοίγοι καὶ ἦχον τινὰ ἀποτελῇ· ὁ τοιοῦτος γὰρ ἦχος ψόφος καλεῖται· ὅταν δὲ ὑπ' ἀνέμου κινῆται μόνη, καὶ ἦχον τινὰ ἐκ τούτου ἀποτελῇ, ὁ τοιοῦτος ἦχος ἢ τρισμὸς κλαυσιᾷν λέγεται. LB. τουτί τί ἦν: Ὃ ἤκουσα. LB. οὐδεὶς ἔοικεν: Κόψας αὐτὴν φαίνεται.

sch plut 1098 δῆτα: Ἀληθῶς. τὸ θύριον: Ἡ θύρα αὕτη. LB. φαίνεται. Θ. ἡ θύρα Ἀττικῶς. Θ. Dv. φθεγγόμενον: Βοώμενον.

sch plut 1099 ἄλλως κλαυσιᾷ: Μάτην τὰ τῶν κλαιόντων μιμεῖται. P. ματαίως ἠχεῖ. Dv. LB. ἄλλως: Μή τινος κινοῦντος. μάτην. κλαυσιᾷ: Ἠχεῖ. Θ. Br. (ἀντὶ τοῦ) ματαίως ἐψόφησεν. R. V. σέ τοι λέγω: Τὸ λέγω ὅτε μὲν πρὸς μόνον πρόσωπον λέγεται, αἰτιατικῇ συντάσσεται ὡς ἐνταῦθα, σέ τοι σέ τοι λέγω Καρίων, ἀνάμεινον. παρὰ τῷ Αἰσχύλῳ [Prom. 944] «σὲ λέγω τὸν σοφιστήν.» ὅτε δὲ καὶ πρᾶγμα ἐπιφέρεται, τότε τὸ μὲν πρόσωπον δοτικῇ, τὸ δὲ πρᾶγμα αἰτιατικῇ, ὡς τὸ λέγω σοι λόγον. Θ. ἀνάμεινον: Καρτέρησον.

sch plut 1100 Dv. πρόσμεινον. LB. μὰ Δί': Οὐ.

sch plut 1102 ἔμελλον: Κρούειν. Dv. κόψειν σφόδρα. Θ. κόψειν περισσότερον. LB. φθάσας: Προφθάσας. Dv. προλαβών. Θ. LB. φθάνω τὸ καταλαμβάνω τὶ ἤγουν ἄνθρωπόν τινα, ἢ τόπον· ἐκ τούτου φθάνω καὶ τὸ προλαμβάνω, οἷον, ἔφθη εἰπών· ἐπὶ τούτου τοῦ σημαινομένου λέγεται κἀνταῦθα· καὶ ἡ σύνταξις, εἶτα ἀνέῳξας τὴν θύραν δηλαδὴ φθάσας, ἢ προλαβὼν ἐμὲ μέλλοντα κόπτειν αὐτήν. LB. ἐνταῦθα συναπτέον τὸ ταχύ.

sch plut 1103 Θ. ἐκκάλει: Ἔξω κάλει. LB. τοὺς θεράποντας: Τοὺς δούλους.

sch plut 1105 Dv. αὐτοῦ, τοὺς συνδούλους σου. τὴν κύνα: Τὴν σκύλαν. LB. ὦ πόνηρε: Ὦ γεωργέ.

sch plut 1107 LB. κακότροπε. P. εἰς ταυτὸν: Εἰς ὅμοιον, εἰς ἕν.

sch plut 1108 συγκυκήσας: Συναθροίσας. LB. συνταράξας. V. συμμίξας, συνταράξας. Θ. συμμίξας. Dv. συνταράξας, συντρίψας. P. τριβλίον: Ἀγγεῖον. Dv. ἀγγεῖον, ὀξύβαφον. V. ἰγδίον ἢ ἀγγεῖον ὀξύβαφον. P. ἁπαξάπαντας: Ὁμοῦ ὅλους.

sch plut 1109 LB. εἰς τὸ βάραθρον: τόπος ὅπου κολάζονται οἱ ἀσεβεῖς. R. ὅπου οἱ ἀσεβεῖς ἐρρίπτοντο. V. εἰς τὸν ᾅδην. Dv. ἐμβαλεῖν: Ῥίψαι, ἐνθεῖναι. LB. ἡ γλῶττα τῷ κήρυκι: ⟦ Διχῶς νοεῖται· ⟧ ἡ γλῶττα τῶν θυομένων τῷ Ἑρμῇ δίδοται, ἐπειδὴ τῶν λόγων δεσπότης ἐστίν· (ἢ τῶν καταρωμένων ἀπ' αὐτοῦ ἡ ἀρχή.

sch plut 1110 Καλλίστρατος τῶν θυομένων φησὶ τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι· διὸ καὶ τὸν ποιητὴν τῷ Ἑρμῇ ποιεῖν τεμνομένας αὐτάς. [καὶ τοῦτο δὲ] πρὸς τὸν Ἑρμῆν λέγει ἥκοντα παρὰ Διός. Ἄλλως. κολακεύων [αὐτόν] φησιν ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται ἐν ταῖς δημοτελέσι θυσίαις. Ἄλλως. εἰρωνικῶς, ὡσεὶ ἔλεγε, κακὰ συλλέγει, καὶ ἡμεῖς ἀδίκως αὐτῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θύομεν τὰς γλώσσας. Ὅμηρος «ὅδ’ ἐν πυρὶ βάλλε γλώττας.» πρὸς δὲ τὸ λεγόμενον ἔπαιξεν, ἡ γλῶττα τῷ κήρυκι.) —τῷ κήρυκι: Ἢ τοῦ κήρυκος. Dv. LB. τῷ Ἑρμεῖ, ἢ χάριν σου τοῦ κήρυκος. P. τούτων: Τῶν ζώων. τέμνεται: Κόπτεται, δίδοται. LB. ἡ γλῶττα τῷ κήρυκι τούτων· διττῶς τοῦτο· ἡ γλῶττα τούτων, ἤγουν τῶν ζώων, τέμνεται τῷ κήρυκι, ἤγουν σοι· τουτέστιν, ἕνεκεν σοῦ· ἀποδίδοται γὰρ σοὶ τῷ ὄντι κήρυκι τῶν θεῶν καὶ ὑπηρέτῃ· ἢ ἡ γλῶττα τῷ κήρυκι τούτων τῶν ἀγγελιῶν, τουτέστι σοὶ τέμνεται· ἀντὶ τοῦ, εἴθε ἐκκοπείη. LB. λιβανωτὸν: Λίβανον.

sch plut 1114 LB. ψαιστὸν: πέμμα ἐστὶν ἢ εἶδος πλακοῦντος (ἐκ σεμιδάλεως καὶ γάλακτος).

sch plut 1115 R. V. Λαλάγγιον ( Dv. ) ἱερεῖον: Θυσίαν. LB. θῦμα. Θ. Dv. ἐπιθύει: Θυσιάζει.

sch plut 1116 LB. ἐπεμελεῖσθ’: Προενοεῖσθε.

sch plut 1117 LB. ἐφροντίζετε. Dorvill. ἧττον μέλει: ἀντὶ τοῦ οὐδαμῶς.

sch plut 1118 R. V. ἐλάττονος φροντίς ἐστι. LB. οὐδαμῶς διὰ φροντίδος ἐστί μοι. Dv. σωφρονεῖς: Ἀντὶ τοῦ, μόλις ἐπεστράφης· ἢ καλῶς λέγεις.

sch plut 1119 —ἀπόλωλα: Ἐφθάρην. ἐπιτέτριμμαι: Ἠφάνισμαι. Θ. LB. Dv. ἀπόλωλα: Ἐφθάρην, εἰς παντελῆ κατέστην ἀφανισμόν. P. σωφρονεῖς: Ἤγουν καλῶς ποιεῖς μηδὲ τί λέγων περὶ τῶν ἄλλων θεῶν. LB. πρότερον: Πρὸ τοῦ τὸν Πλοῦτον βλέψαι.

sch plut 1120 P. ταῖς καπηλίσιν: Τῶν καπηλίδων. LB. κάπηλις καὶ καπηλίς διαφέρει· κάπηλις μὲν γάρ ἐστιν ἡ τὸν οἶνον πωλοῦσα· καπηλίς δὲ ἡ θυγάτηρ αὐτῆς. LB. οἰνοῦτταν: Οὕτως τὴν ἐν οἴνῳ πεφυραμένην μᾶζαν.

sch plut 1121 τινὲς δὲ οἰνοῦτταν, εἶδος πλακοῦντος μετ’ οἴνου καὶ μέλιτος γινόμενον. —ἕωθεν: Ἐκ πρωΐας. οἰνοῦτταν: Μουστόπιτταν (Θ). LB. οἰνοῦττα μέν ἐστιν ἡ κοινῶς λεγομένη μουστόπιττα. μελιττοῦτα δὲ, ὃ κοινῶς εἰώθασι λέγειν ἀπόθερμον. Br. ἰσχάδας: Σῦκα.

sch plut 1122 Θ. ἐσθίειν: Τρώγειν. LB. Dv. ἀναβάδην: (Ἀντὶ τοῦ κάθημαι πεινῶν.

sch plut 1123 ) ἄνω [φησὶν] ἔχω τοὺς πόδας ἐν τῇ στήλῃ κοιμώμενος· (οἱ γὰρ διάκονοι τοὺς πόδας ἄνω εἶχον πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τοῦ δρόμου.) —ἀναβάδην ἀναπαύομαι: Ἤγουν, ἐπάνω ἔχω τὸν πόδα εἰς τὸν ἄλλον. LB. ἤγουν, ἄλλον ἐπ’ ἄλλῳ πόδ’ ἔχων κεῖμαι. Dv. ὕπτιος. τιθέμενος τὸν ἕνα πόδα ἐπάνω τοῦ ἑτέρου. Br. ἢ ἄνω ἔχων τοὺς πόδας· ἢ ἄλλως ἐπ’ ἄλλῳ ἔχων τὸν πόδα, ἤγουν ἐκτεταμένους. P. (οὐκοῦν δικαίως, ὅστις ἐποίεις ζημίαν: Ἀντὶ τοῦ, ἐποίεις ζημιοῦσθαι τοὺς ταῦτα τὰ ἀγαθά σοι παρέχοντας.

sch plut 1124 ) ⟦ ὁ γὰρ Ἑρμῆς τοιαῦτα ποιεῖ· καὶ ὁ Αἴσωπος γὰρ ἐν τοῖς μύθοις τὰ αὐτὰ λέγει. ⟧ —οὐκοῦν: Λοιπόν LB. τὸ λοιπόν. Dv. δικαίως: Πάσχεις τοῦτο. LB. δικαίως, φησὶ, πάσχεις ταῦτα, ὅστις ἐνίοτε ἐποίεις τοὺς σοὶ ταῦτα προσάγοντας ζημίαν ὑφίστασθαι. LB. ἐποίεις: Ἡμῖν. LB. ἐνίοτε: Ποτέ.

sch plut 1125 LB. πάντοτε. Dv. ἔχων: Ἀφ’ ἡμῶν. LB. παρ’ ἡμῶν. Dv. τοὺν τετράδι πεπεμμένου: Ἡ τετρὰς ἐνομίζετο τοῦ Ἑρμοῦ· καὶ καθ’ ἕκαστον μῆνα ταύτῃ τῇ ἡμέρᾳ ἀπετίθεντο τῷ Ἑρμῇ.

sch plut 1126 ἔξω τῶν ἑορτῶν ἱεραί τινες τοῦ μηνὸς ἡμέραι νομίζονται Ἀθήνησι θεοῖς τισὶν, οἷον νουμηνία καὶ ἑβδόμη Ἀπόλλωνι, τετρὰς Ἑρμῆ, καὶ ὀγδόη Θησεῖ, —Χάρισι τρίτη. V. οἴμοι: Φεῦ. πλακοῦντος: Ἕνεκεν τοῦ. LB. ἕνεκα. πεπεμμένου: Ἐζυμωμένου. Dv. ἐν ἑκάστῃ τετράδι ζυμουμένου καὶ διδομένου μοι. LB. τοὺν τετράδι πεπεμμένου· ἤτοι τοῦ καθ’ ἑκάστην τετράδα τοῦ μηνὸς πεπεμμένου, ἤτοι ζημουμένου καὶ κατασκευαζομένου· ἑκάστου γὰρ μηνὸς ἡ νουμηνία καὶ ἡ ἑβδόμη ἀφιέρωτο τῷ Ἀπόλλωνι· ἡ δὲ τετάρτη τῷ Ἑρμῇ· ἡ δὲ ἕκτη τῇ Ἀρτέμιδι, καὶ ἄλλη ἄλλῳ. LB. ⟦ ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς: Ἡρακλῆς πλέων μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι ἐν Κίῳ τῇ νήσῳ ἐξελθὼν, καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν αὐτόν· τοῦ δὲ ὑπὸ Νυμφῶν ἁρπασθέντος, Ἡρακλῆς πολὺν

χρόνον ἐζήτει· ὕστερον δὲ ὑπό τινος αἰθερίας φωνῆς ἤκουσε ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.

sch plut 1127 ἐλήφθη οὖν τοῦτο εἰς παροιμίαν ἐπὶ τῶν μάτην προσδοκούντων. —ὁ Ἡρακλῆς εἶχεν ἐρώμενον τὸν Ὕλαν· ὅτε γὰρ παρὰ τοῦ θησου ὁ Ἡρακλῆς ἐπέμφθη ἐπὶ τῷ λαβεῖν τὸ χρυσόμαλλον δέρας, εἶχε καὶ τοῦτον μεθ’ ἑαυτοῦ. πέμψας οὖν τοῦτον λαβεῖν ὕδωρ, παρὰ τῶν πηγῶν ἡρπάσθη, ὡς ἱστορεῖ Θεόκριτος· καὶ τοῦ Ἡρακλέους τοῦτον ζητοῦντος παρὰ τῶν πηγῶν, τοῦτο ἤκουσε «ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.» Dorv. ⟧ οἴμοι δὲ κωλῆς: ⟦ Τοῦ κώληκος λεγομένου.

sch plut 1128 ⟧ κωλαῖ τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. ἔστι δὲ ἱερὸς Ἑρμοῦ ὁ βραχίων τῶν ἀλόγων ζώων. (Ἄλλως.) τὰς ἀγκύλας φησὶν, αἳ ὀστώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντας. —κωλῆς: Τοῦ μηροῦ (Θ.), τοῦ ἐντέρου. LB. κωληναρίου· κῶλα τὰ ἐμπρόσθια μέρη τῶν ἱερείων. τὰς ἀγκύλας, αἳ ὀστώδεις εἰσί. διαβάλλει οὖν ὡς ὀστέα τοῖς θεοῖς προσφέροντα. P. κατήσθιον: Ἔτρωγον. LB. Dv. ἀσκωλίαζ’ ἐνταῦθα: Ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ Ἀσκώλια, ἐν ᾗ ἐνήλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου.

sch plut 1129 δοκεῖ δὲ ἐχθρὸν εἶναι τῇ ἀμπέλῳ τὸ ζῶον. ἀμέλει οὖν καὶ ἐπίγραμμα [Eveni in Anth. Palat. 9, 75] φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα οὕτως ἔχον, κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως δέ τι καρποφορήσω, ὅσσον ἐπιλεῖψαι σοὶ, τράγε, θυομένῳ. (ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἄλλου· κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον, καθάπερ Εὔβουλος ἐν Δαμαλείᾳ φησὶν οὕτως, καὶ πρός γε τοῦτοις ἀσκὸν εἰς μέσον καταθέντες εἰσάλλεσθε καὶ καχάζετε ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.) ⟦ οὕτω καὶ Δίδυμος. Ἄλλως. ἀσκωλιάζειν ἔλεγον τὸ ἐνάλλεσθαι τοῖς ἀσκοῖς ἢ τὸ ἐπὶ ἑνὸς ποδὸς ἅλλεσθαι. Ἄλλως. Ἀσκώλια ἑορτὴ Διονύσου· ἀσκὸν γὰρ οἴνου πληροῦντες ἑνὶ ποδὶ τοῦτον ἐπήδων· καὶ ὁ πηδήσας ἆθλον εἶχε τὸν οἶνον. ⟧ —ἀσκωλίαζ’: Πήδα. LB. πήδα· Ἀσκόλια ἑορτὴ τοῦ Διονύσου. Dv. ἀσκολίαζ’ ἐνταῦθα: Ἀσκολία ἦν ἑορτὴ τοῦ Διονύσου, ἐν ᾗ ἀσκοὺς διαφυσῶντες καὶ ὀγκοῦντες, ἐρρίπτουν καὶ ἄνωθεν ἥλλοντο ἐπάνω αὐτῶν ἑνὶ ποδὶ, ἐκίνουν δὲ γέλωτα καταπίπτοντες· ὁ μέντοι μὴ καταπεσὼν ἐλάμβανεν αὐτὸν οἴνου πλήρη. LB. ἐνταῦθα: Αὐτοῦ. πρὸς τὴν αἰθρίαν: Ἐν τῇ εὐδίᾳ. LB. εἰς τὸν ἀσκεπῆ τόπον. P. αἰθρίαν: Εὐδίαν. Dv. σπλάγχνων: Οἴμοι ἀπὸ κοινοῦ.

sch plut 1130 τῶν ἐγκάτων τῶν ζώων. ἡνίκα γὰρ ἐξῆγον ταῦτα τοῦ ἱερείου, παραυτίκα αὐτοῦ ἔθυον. Θ. καὶ οἴμοι ἕνεκεν. LB. οἴμοι ἀπὸ κοινοῦ. Dv. θερμῶν: Τῶν ζώντων. LB. ὀδύνη σε πρὸς τὰ σπλάγχνα: Ἀντιστρόφως· ἐπὰν γὰρ πνεῦμα δι’ ἐντέρων ὑποδύῃ, [τὸ τοιοῦτον γίνεται].

sch plut 1131 δέον οὖν εἰπεῖν πνεῦμα, ὀδύνη εἶπεν. ⟦ πρὸς τὰ σπλάγχνα δὲ ἀντὶ τοῦ, ἐπὶ κωλῇ καὶ τοῖς σπλάγχνοις. ⟧ —ὀδύνη: Πόνος, διὰ τὸ κενοὺς εἶναι ὑπὸ τοῦ μὴ ἐσθίειν. Θ. ἤγουν πόνος. Dv. πρὸς: Κατά. LB. ἐπιστρέφειν: Ἔχειν. Dv. ἔχειν, κινεῖν. LB. κινεῖν, ἐνοχλεῖν. Θ. ἴσον ἴσῳ κεκραμένης: (Οἴνου καὶ ὕδατος· ζωρότερον γὰρ τὸ τοιοῦτο κρᾶμα.

sch plut 1132 παίζει δὲ πρὸς τοὺς καπήλους.) ζητεῖται διὰ τί τοῖς μὲν ἄλλοις θεοῖς δίδοται ἄκρατος σπονδὴ, τῷ δὲ Ἑρμῇ κεκραμένη· [καὶ φαμὲν] ὅτι καὶ τῶν ζώντων καὶ τῶν τετελευτηκότων ἄρχει καὶ παρ’ ἀμφοτέρων τιμὰς δέχεται. —ἶσον ἴσῳ: Ὕδωρ οἴνῳ. Θ. Dv. ⟦ ταύτην ἐπιπιὼν, ἀποτρέχων οὐκ ἂν φθάνοις: Οὐκ ἂν πέρας σχοίης τῶν κακῶν· οὐκ ἂν ἀναβάλοιο.

sch plut 1133 ⟧ —ταύτην: Παίζει· αὐτίκα γὰρ τῷ Ἑρμοῦ λόγῳ ἀπέπαρδε. Θ. ἣν ἔπαρδον. LB. ἐπιπιὼν: Δι’ ὅλου πιών. Paris. ⟦ τὸν σαυτοῦ φίλον: Τοῦτο λέγει, ἢ διότι καὶ αὐτὸς διάκονος καὶ ὑπηρέτης ἦν τῶν θεῶν, ὥσπερ οὗτος Χρεμύλου· ἢ διὰ τὰς βοηθείας, ἃς προϊὼν ἐρεῖ.

sch plut 1134 εἰώθαμεν γὰρ οἱ ἄνθρωποι, ὅταν εἰς ἀνάγκην ἐμπέσωμεν, εὔνοιαν πρὸς τοῦτον πλάττεσθαι, ἀφ’ οὗ ἂν ἡμῖν ἔσται ὠφέλεια. —τὸν σαυτοῦ φίλον: Πολλαὶ τέχναι ἀνάκεινται τῷ Ἑρμῇ, ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστὶ καὶ ἡ τῶν κλεπτῶν· ἐπεὶ δὲ καὶ οἱ θεράποντες κλέπται, τούτου ἕνεκα φίλον ἑαυτὸν Καρίωνι λέγει. LB. τ. ς. φ.: Τουτέστιν ἐμέ. P. ⟧ εἴ του: Τινός (Θ).

sch plut 1135 δέει: Χρῄζεις. ὧν: Ἀφ’ ὧν. Dv. δέῃ: Τινὸς χρείαν ἔχεις. LB. πορίσας: Δούς.

sch plut 1136 Θ. εὖ πεπεμμένον: Καλῶς κατεσκευασμένον. LB πεπεμμένον: Ἐζυμωμένον. Θ. ζημωμένον. Dv. καταφαγεῖν νεανικὸν: Νέον.

sch plut 1137 Dv. νεανίᾳ πρέπον. P. ἀντὶ τοῦ δυνάμενον χορτάσαι νεώτερον. R. πολὺ, δυνάμενον χορτάζειν νεανίαν. V. ἱκανὸν νεανίαν κορέσαι. Θ. νεανικὸν κρέας λέγει ἐνταῦθα τὸ ἀρκοῦν νεανίᾳ εἰς τὸ χορτάσαι αὐτόν. P. ὠφελήσαις δηλ.

sch plut 1138 Θ. Dv. P. (ἀλλ’ οὐκ ἔκφορα: Ὡς ἐν ἐνίαις θυσίαις λεγομένου τούτου. καὶ χρῶνται αὐτῷ οὐ κατ’ οὐδέτερον πληθυντικὸν, ἀλλ’ ἑνικῶς κατὰ θηλυκόν· ὡς Θεόπομπος, εἴσω δραμὼν αἴτησον, ἀλλ’ οὐκ ἐκφορά. καὶ εἰ μὲν οὐδέτερον εἴη πληθυντικὸν, προπαροξύνουσιν· εἰ δὲ θηλυκὸν, ὀξύνουσιν.) —ὧν: Ἀφ’ ὧν. ἔνδον: Ἐντός. LB. Dv. οὐκ ἔκφορα: Οὐκ ἔξω φερόμενα. Θ. εἰσὶ τὰ κρέατα, ὥστε φέρεσθαι ἔξω. LB. ἀλλὰ οὐκ εἰσὶ τὰ κρέατα ἔκφορα, ἤγουν ἔξω διδόμενα· ἐκέλευσε γὰρ ὁ Πλοῦτος μηδὲν διδόναι ἔξω. LB. ἤγουν ἄξια ἐκβληθῆναι. Dv. ἀλλ’ οὐ καλὸν ἐκφέρεσθαι ταῦτα. P. ὁπότε: Ἡνίκα.

sch plut 1139 τι σκευάριον: Ἀγγεῖόν τι. LB. ὑφείλου: Ἔκλεπτες (Θ.

sch plut 1140 ). λανθάνειν: Τὸν σὸν δεσπότην. LB. σε λανθάνειν ἐποίουν: Ὑπέβαλον γὰρ πονηρίας τῷ σῷ νῷ. Θ. Dv. διὰ τοῦτό σε λανθάνειν ἐποίουν, ἵνα καὶ αὐτὸς μετὰ σοῦ τοῦ κλέμματος ἔχω.

sch plut 1141 V. ἵνα λάβῃς καὶ αὐτὸς τὸ μέρος σου. R. ἐφ’ ᾧτε: Ἐπὶ τῷ. Θ. LB. μετέχειν: Τοῦ κλέμματος. Dv. τοιχωρύχε: Ὦ κλέπτη. LB. κλέπτα. Dv. κλέπτα, κατ’ ἀστεϊσμόν. Θ. ἧκεν: Ἦλθεν.

sch plut 1142 LB. ναστὸς εὖ πεπεμμένας: [πλακοῦς ἢ] θερμὸς ἄρτος μετὰ ἐλαίου. R. V. ἄρτος καλῶς κατεσκευασμένος. LB. ἄρτος καλῶς ἐζυμωμένος. Θ. Dv. δύο εἰσὶ ναστὸς καὶ κοῖλος. καὶ ναστὸς μὲν λέγεται, ὅντινα καλοῦσιν οἱ κοινοὶ ὁλόβολον· κοῖλος δὲ ὁ ἔχων ἔσω κοιλότητα. P. δύο εἰσὶν αἱ τῆς ἐπιπέδου ἐπιφάνειαι κατ’ ἐναντιότητα θεωρούμεναι ἄκραν, ἥ τε κοίλη καὶ ἡ κυρτή. τὴν γοῦν κυρτήν φασι καὶ ναστήν. ἐπεὶ οὖν καὶ ὁ ἄρτος κυρτός ἐστι τὴν ἐπιφάνειαν, διὰ τοῦτο ναστὸν ἐνταῦθα τοῦτον προσηγόρευσεν. Vict. ἤσθιον γὰρ καὶ αὐτὴ ἐξ ὧν προσέφερον τοῖς θεοῖς.

sch plut 1143 Θ. οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγάς: Ἀντὶ τοῦ ἴσον.

sch plut 1144 ἀρχαῖον καὶ Ἀττικὸν τὸ σχῆμα. V. ⟦ οὐ μόνον μετέχω τοῦδε, ἀλλὰ καὶ μετέχω τόδε φαμέν· καὶ εὕροις ἂν τοῦτο οὐ μόνον παρὰ ποιηταῖς, ἀλλὰ καὶ λογοποιοῖς. ⟧ —μετεῖχες: Ἐλάμβανες. LB. ὅμοιον τῷ [226] «ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος·» ἀντὶ τοῦ ἁπλῶς ἐλάμβανες, ἢ μετ’ ἐμοῦ ἐλάμβανες. LB. ἴσας: Ὁμοίας. LB. ληφθείην: Κρατηθείην.

sch plut 1145 πανουργήσας: Κλέψας. LB. Dv. ἀντὶ τοῦ κλέψας. R. V. Ἀντὶ τοῦ εἰ καὶ ἐπλούτησας, μὴ ἐπαρθῇς, μὴ μέγα φρονήσῃς.

sch plut 1146 R. (εἰ σὺ Φυλὴν κατέλαβες: Ὅτι μετὰ τὸ κατελθεῖν τοὺς μετὰ Θρασυβούλου Φυλὴν καταλαβόντας καὶ νικήσαντας ἐν Πειραιεῖ τοὺς τριάκοντα ψηφίσασθαι ἔδοξε μὴ μνησικακῆσαι καθάπαξ ἀλλήλοις μηδὲν τοὺς πολίτας. ἀλλὰ ταῦτά γε οὔπω ἐπέπρακτο οὐδὲ τὰ ἐπὶ τῶν τριάκοντα ἤδη ἦν, ἀλλὰ καὶ, ὡς Φιλόχορός φησιν, πέμπτῳ ἔτει ὕστερον τῆς Θρασυβούλου γενομένης Κριτίας ἐν Πειραιεῖ τελευτᾷ. τοῦτο οὖν ἔοικέ τις ἐκ τοῦ δευτέρου Πλούτου μετενεγκὼν ἐνθάδε ὀλιγωρῆσαι τῆς ἀλογίας ταύτης, ἢ καὶ αὐτὸς ὁ ποιητὴς ὕστερον ἐνθεῖναι. ἀπὸ τῶν συνθηκῶν τῶν Ἀθήνησι γενομένων πρὸς τοὺς καταλαβόντας. Φυλὴν δὲ, τὸν δῆμον, ἀφ’ οὗ Φυλάσιοι. —συνέθεντο γὰρ μετὰ τὸ μεταγαγεῖν μὴ μνησικακῆσαι. Φυλὴ δὲ τόπος οὕτω καλούμενος. V. Ἄλλως. Θρασύβουλος βουλόμενος καταλῦσαι τοὺς λ′ καταλαβὼν Φυλὴν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόπον τινὰ, κἀκεῖσε συμμάχους λαβὼν, κατέλυσε. καὶ ἐπεὶ ἀλαζονικὸν ἐφθέγξατο, ἤκουσε, μὴ μνησικακήσῃς, καὶ ἐγένετο παροιμιακόν. Φυλὴ δὲ, δῆμος τῆς Ἀττικῆς, καὶ οἱ ἐνοικοῦντες Φυλάσιοι. τὸ δὲ, εἰ σὺ Φυλὴν κατέλαβες, ἀντὶ τοῦ, εἰ ἐπλούτησας, εἰ μέγας γέγονας, Φυλὴν καταλαβόμενος, καὶ τοὺς λ′ τυράννους μεταχειρισάμενος. Φυλὴ γὰρ τόπος οὕτω καλούμενος. περὶ δὲ Θρασυβούλου εἴρηται διὰ τὸ ἐπαινεῖσθαι, ὅτι ἐκεῖ ἐφόνευσε τοὺς λ′ τυράννους.) ⟦ Φυλὴν κατέλαβες: Προεγράφη ὄπισθεν [ad v. 550] ἡ ἱστορία, ὅπως Λακεδαιμόνιοι Ἀθηναίοις τριάκοντα τυράννους κατέστησαν, Ἀθηναίους ὄντας καὶ αὐτούς· οἳ τοὺς Ἀθηναίους κακῶς ἐποίουν τοὺς ὁμοφύλους καὶ συμπολίτας. ἀλλὰ Θρασύβουλός τις Ἀθηναῖος φιλόπατρις καὶ μισοτύραννος Φυλὴν κατέλαβε χωρίον τῆς Ἀττικῆς μετὰ ὀκτακοσίων ἀνδρῶν, καὶ συμβαλὼν τοῖς τριάκοντα καὶ τοῖς μετ’ αὐτῶν νικᾷ τε αὐτοὺς καὶ τὴν πόλιν τῆς τυραννίδος ἠλευθέρωσεν. ἐπεὶ δὲ ἦσαν τινὲς ἐν τῇ πόλει, πρὸς οὓς ἐφέροντο καλῶς οἱ τύραννοι, ὅτε ἦρχον, οὗτοι τοὺς ἀναιρέτας τῶν τυράννων δεδιότες, ἡνίκα τινὶ αὐτῶν συναντήσειαν, ἔλεγον, μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες· ὅθεν καὶ ψήφισμα ἔθεντο ἀλλήλους μὴ μνησικακεῖν Εὐκλείδου δημαγωγήσαντος. φησὶ δὲ Ἑρμῆς, ὦ Καρίων, μὴ μνησικακήσῃς ἐμὲ ἕνεκεν τῶν ὄπισθεν· ὡς οὐδὲ οἱ μετὰ Θρασυβούλου τοὺς μετὰ τῶν τυράννων, εἰ κατέλαβες τὴν Φυλὴν, ὡς ὁ Θρασύβουλος· τουτέστιν, ἐὰν ἐπλούτησας. LB. μὴ: Ὅρα ἵνα. μνησικακήσῃς: Ὀργισθῇς. Φυλὴν: Τήν. τὸ χωρίον. κατέλαβες: Εὗρες. LB. φιλὴν: Ὄνομα τόπου. Dv. εἰ σὺ φ. κ.: Τουτέστι εἰ ἐπλούτισας. P. ⟧ σύνοικον: Μεθ’ ὑμῶν.

sch plut 1147 πρὸς θεῶν: Ἕνεκεν τῶν. LB. ἀπολιπὼν: Ἀφείς ( Dv.

sch plut 1148 ). ἐνθάδε μενεῖς: Ἐνταῦθα προσκαρτερήσεις. LB. τὰ γὰρ: Ναί (Θ.

sch plut 1149 Dv ). τὰ παρ’ ὑμῖν: Τὰ ἐνταῦθα. βελτίω πολύ: Κρείττονα κατὰ πολύ. LB. κρείττονα τῶν ἐν θεοῖς. Θ. Dv. ⟦ ταὐτομολεῖν: Αὐτόμολός ἐστιν ὁ οἰκείᾳ θελήσει λιπὼν ἐκείνους, μεθ’ ὧν ἦν, καὶ πρὸς ἄλλους ἐλθών.

sch plut 1150 τὸ ἐξέρχεσθαι ἀπὸ τῶν οἰκείων, καὶ εἰσέρχεσθαι πρὸς τοὺς ἀλλοτρίους, ἀστεῖόν ἐστιν. Br. αὐτομολεῖν: Τὸ ἐνταῦθα ἐλθεῖν καὶ διατρίβειν. ἀστεῖον: Πεπαιδευμένον. P. φρόνιμον, καλόν. LB. καλὸν, χάριεν. Θ. χαρίεν. Dv. ⟧ πατρὶς γὰρ: παρὰ τὴν παροιμίαν· ὅπου γὰρ ἀγαθόν ἐστιν, ἐκεῖ μοι πατρίς.

sch plut 1151 V. ναί. πᾶς’: Ὅλοις τοῖς ἀνθρώποις. LB. ἵν’: Ὅπου. Dv. ἵν’ ἂν: Ὅπου εὐτυχῇ. P. πράττῃ τις εὖ: Εὐτυχῇ. LB. εὐημερῇ. Dv. πᾶσι. ὅπου. πάσχῃ. Θ. ὄφελος: Ἤγουν ὠφέλεια.

sch plut 1152 Dv. στροφαῖον: ⟦ Ἐπὶ ἀποτροπῇ τῶν ἄλλων κλεπτῶν.

sch plut 1153 στροφαῖος, παρὰ τὸ στρέφεσθαι καὶ πανουργεῖν. λέγεται δὲ ὁ Ἑρμῆς, στροφαῖος, ἐμπολαῖος, κερδῷος, δόλιος, ἡγεμόνιος, ἐναγώνιος, διάκονος. Ἄλλως. ⟧ (στροφὸν, ἐπεὶ στροφοὶ λέγονται οἱ συμπεπλεγμένοι λόγοι καὶ δολεροί. Ἄλλως.) στροφαῖον ἐκάλουν ἱδρυμένον παρὰ τῇ θύρᾳ [τὸν] δαίμονα· ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα· οἱ δὲ τοῦτο ποιοῦντες πανοῦργοι λέγονται. ἔστι δὲ ἐπωνυμία Ἑρμοῦ, παρὰ τὸ ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν· (οὗτοι γὰρ ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι καὶ ὅλως πανουργεύεσθαι.) — στροφαῖον: Πυλωρὸν, ἔνθα καὶ ἔνθα στρεφόμενον. Θ. Dv. στρεφόμενον. ἱδρύσασθε: Ποιήσατε. LB. πυλωρόν. P. ἐπωνυμία ἐστὶ τοῦτο τοῦ θεοῦ· παρὰ τὸ ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν. στροφαῖον οὖν περὶ τὴν θύραν ἀντὶ τοῦ φύλακα τῆς θύρας ἀπὸ τῆς στρόφιγγος. ὁ δὲ θεράπων τὸ στροφαῖον ἐπὶ τῶν δολίων καὶ συμπεπλεγμένων λόγων ἐκλαμβάνει· ἐπεὶ σημαίνει καὶ τοῦτο ἡ λέξις· στροφαῖον γὰρ φαμὲν ἄνθρωπον, τὸν εἰδότα συμπλέκειν καὶ στρέφειν λόγους καὶ μηχανάς. P. στροφαῖον: Πανοῦργον.

sch plut 1154 P. στροφαῖον; Ποιήσομέν σε; LB. ἀλλ’ οὐκ ... στροφῶν: ἀντὶ τοῦ οὐ χρεία ἐστὶ πανουργεῖν. R. V. χρεία ὑπάρχει οὐδαμῶς ἡμῖν κινήσεων. LB. ἀλλ’ οὐδεμία ἐργασία ἐστὶ δολιοτήτων. P. στροφῶν:

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πανουργιῶν καὶ ποικιλίας καὶ στροφῶν λόγων. Θ. ἀλλ’ ἐμπολαῖον: Πραγματευτὴν, ἢ ἀντὶ τοῦ ἀγοραῖον, καὶ τῆς καπηλείας προεστῶτα.

sch plut 1155 παλιγκάπηλοι δὲ λέγονται οἱ τὰ αὐτὰ πωλοῦντες καὶ ἀγοράζοντες. Ἄλλως. πέντε εἰσὶν αἱ διαφοραὶ τῶν πωλούντων, αὐτοπώλης, κάπηλος, ἔμπορος, παλιγκάπηλος, μεταβολεύς. καὶ ἔστιν αὐτοπώλης μὲν ὁ ἐν τῇ ἰδίᾳ χώρᾳ πωλῶν τὴν ἑαυτοῦ πρόσοδον· κάπηλος δὲ ὁ ἀγοράζων ἀπὸ τοῦ αὐτοπώλου καὶ πωλῶν ἐν τῇ χώρᾳ ἐν ᾗ ἠγόρασεν· ἔμπορος δὲ ὁ ἀγοράζων καὶ ἐπὶ ξένης πωλῶν· [ἢ ἀπὸ τοῦ αὐτοπώλου ἢ ἀπὸ τοῦ καπήλου.] παλιγκάπηλος δὲ ὁ ἀπὸ τοῦ ἐμπόρου ἀγοράζων καὶ πωλῶν. μεταβολεὺς δὲ ὁ κατὰ τὴν κοτύλην πωλῶν, ὥσπερ οἱ νῦν λεγόμενοι κάπηλοι· εἴρηται δὲ παρὰ τὸ συνεχῶς μεταβάλλειν. καὶ αὗται μέν εἰσιν αἱ σημασίαι κυρίως τῶν πωλούντων· καταχρηστικῶς δὲ πᾶς πωλῶν κάπηλος λέγεται. — ἀλλ’ ἐμπολαῖον: Ποιήσατε πράτην. LB. πραγματευτήν. Dv. πραγματευτικόν. P. Ἑρμῆν: Τόν.

sch plut 1156 παλιγκάπηλον: Τὸν μεταπράτην. LB. καπηλεύοντα τὰ πωλούμενα. Θ. Dv. δεῖ: Ἀπόκειται. ἢ πρέπον ἐστί. LB. δόλιον: Ἔφορον τοῦ δόλου ποιήσατε.

sch plut 1157 ἥκιστά γε: Ποιήσομέν σε οὐδαμῶς. LB. οὐδαμῶς. Θ. Ἔργον: Χρεία ἐστὶν ἡμῖν.

sch plut 1158 ἁπλῶν τρόπων: Ἀδολιεύτων ἠθῶν. LB. ἀλλ’ ἡγεμόνιον: Κατὰ χρησμὸν οἱ Ἀθηναῖοι ἡγεμόνιον Ἑρμῆν ἱδρύσαντο.

sch plut 1159 παρὰ δὲ τὸ τοῖς τυφλοῖς τοὺς βλέποντας ἡγεῖσθαι, ἐπήνεγκε δὲ ἐπὶ τοῦ Πλούτου, φάσκων αὐτὸν ἤδη βλέπειν, καὶ μὴ δεῖσθαι ὁδηγοῦ. — ἡγεμόνιον: Προοδοποιόν. Θ. Dv. προοδοποιὸν ποιήσατε. LB. ὁδηγόν. P. ὅτι ὁ Ἑρμῆς καὶ ὁ λόγος καὶ τὸ λογικὸν ἡγεμονεύει τεχνῶν καὶ πρακτικῶν, ὑποτιθεὶς ἑκάστῳ καὶ ἐφευρήσεις καὶ πανουργίας καὶ ἀφορμάς. ἡγεμόνιος δὲ λέγεται καὶ ὁ ὁδηγὸς τῶν τυφλῶν· διὸ φησὶ, Ἀλλ’ ὁ θεὸς ἤδη βλέπει. LB. ὁ θεός: Ὁ Πλοῦτος. LB. ἤδη: Ἀπὸ τοῦ νῦν. Dv. ἀντὶ τοῦ ὁ Πλοῦτος. ὥστε μὴ δεῖσθαι ἡγεμόνος καὶ ὁδηγοῦ. R. ἡγεμόνος: Τινὸς ὁδηγοῦ ( Dv.

sch plut 1160 ). οὐδὲν: Οὐδαμῶς ( Dv. ). δεησόμεθ’ ἔτι: Χρείαν ἕξομεν εἰς τὸ ἑξῆς. LB. εἰς χρείαν ἔλθωμεν. Dv. ἐναγώνιος: Ἐπιστάτης τῶν ἀγώνων καὶ πανηγύρεων.

sch plut 1161 LB. ἀγῶνας καὶ πανηγύρεις ἐργαζόμενος. εἰς ἀνατροπὴν τούτου. Θ. Dv. μοῖραν γὰρ ἐν τοῖς ἀγῶσιν ἔχει ὁ Ἑρμῆς. R. V. P. ἐρεῖς: Λέξεις. LB. λέγεις. Dv. συμφορώτατον: Λίαν συμφέρον.

sch plut 1162 LB. ἁρμοδιώτατον. Dv. ἀντὶ τοῦ ἁρμόδιον. R. V. Θ. μουσικοὺς: Λογικούς.

sch plut 1163 P. μουσικὰς: Χορούς. Dv. γυμνικούς: Παλαίστρας, δρόμους καὶ τὰ τούτοις ὅμοια. Θ. παλαίστρας. Dv. χοροὺς, ὀρχήσεις, παλαίστρας, δρόμους καὶ τὰ τοιαῦτα. P. χοροὺς καὶ ὀρχήσεις. Θ. ὡς: Λίαν, ὄντως.

sch plut 1164 Θ. Dv. ὡς ἀγαθὸν: Λίαν συμφέρον. LB. ἐπωνυμίας: ὡσανεὶ ἔλεγε πολλὰ ὀνόματα ἔχειν. R. ὀνομασίας (LB.). ἔχειν: Κρατεῖν. Dv. ἐξεύρηκεν: Διὰ τῶν πολλῶν ἐπωνυμιῶν.

sch plut 1165 Θ. Dv. βιότιον: βίον, ὑποκοριστικῶς. R. V. μικρὰν ζωήν. Θ. LB. Dv. οὐκ ἐτὸς ἅπαντες: Ὡσανεὶ ἔλεγεν, οὐ ματαίως ἄρα σπεύδουσι πολλὰ ὀνόματα ἔχειν, ἵνα, ἐὰν ἀποτύχωσιν ἑνὸς, εἰς ἄλλο δικάσωσι δικαστήριον.

sch plut 1166 (ὁ τούτων νοῦς ἐκ τῶν προειρημένων [ad v. 277] περὶ τῆς κληρώσεως τῶν γραμμάτων καὶ τῶν δικαστηρίων δῆλος. ἐποίουν δὲ τοῦτο οἱ δικάζοντες, ἵνα, ἐὰν ἀπολειφθῶσιν ἑνὸς, ἐν τῷ ἄλλῳ δικάσωσι, τὸν πεσσὸν καὶ εἰς τόδε καὶ εἰς τόδε ἐμβάλλοντες τῶν δικαστηρίων.) —οὐκ ἐτὸς: Οὐ ματαίως. LB. οὐ μάτην, οὐ ψεκτῶς. P. — ἐτὸς: Μάτην. Θ. Dv. πάντες: Ὅλοι. οἱ δικάζοντες: Οἱ κριταί ( Dv. ). θαμὰ: Συνεχῶς (Θ.). LB. οὐκ ἐτὸς ἅπαντες: Οὐ ματαίως ἄρα οἱ ἐν ταῖς Ἀθήναις, φησὶ, δικάζοντες σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν ἐν τοῖς δικαστηρίοις. περὶ δὲ τῶν γραμμάτων καὶ δικαστηρίων Ἀθηναίων ἔφημεν ὄπισθεν, πῶς ἐν ἑκάστῳ ἦν γεγραμμένον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στοιχεῖον· ἐν μὲν τῷ τοῦ Ἀρεοπάγου δικαστηρίῳ πρὸ τῶν θυρῶν ἐπεγέγραπτο α′· ἐν δὲ τῇ Ἡλιαίᾳ η′· ἐν δὲ τῷ ἐν Φρεαττοῖ δ′, καὶ ἐν τοῖς λοιποῖς ὡσαύτως· διὰ τοῦτο ἔφη, σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν. LB. (γεγράφθαι: Ἀντὶ τοῦ ὠνομάσθαι, ὥστε καὶ ἡλιαστὰς εἶναι καὶ πανταχοῦ ἑαυτοὺς ἐγγραφῆναι σπουδάζοντες.

sch plut 1167 βούλονται δὲ ἐν Ἀρείῳ πάγῳ, βούλονται δὲ καὶ ἐν ἄλλῳ δικαστηρίῳ ἀναστρέφεσθαι, διὰ τὸ μὴ ἀργεῖν ὅλως.) —σπεύδουσι: Σπουδάζουσι. γεγράφθαι: Ἐγγράφεσθαι. LB. γράμμασι: Δικαστηρίοις. Θ. δικαστηρίων. Dv. ἐν πολλοῖς γεγρ. γρ.: Ἐγγεγραμμένοι εἶναι δικαστηρίοις. Br. ὠνομάσθαι ἐν πολλοῖς δικαστηρίοις. Paris. οὐκοῦν: Λοιπὸν βούλει ἵνα.

sch plut 1168 LB. τὸ λοιπόν. Dv. εἰσίω: Εἰσέλθω. Θ. LB. Dv. καὶ πλῦνέ γε: Ναί. Dv. τὸ φρέαρ: Τὸ πηγαδί.

sch plut 1169 LB. ἵν’ εὐθέως: τοιοῦτος γὰρ ὁ Ἑρμῆς, ὡς Ὀδυσσεύς· «Ἑρμείας δ’ οὐκ ἔστι διάκτορος.

sch plut 1170 » V. ὅπως παρευθὺς ὑπηρέτης καλὸς ὑπάρχειν φαίνῃς. LB. διακονικός διακόνου διαφέρει· διάκονος μὲν γάρ ἐστιν ὁ ὑπηρέτης· διακονικός δὲ ὁ δυνάμενος ὑπηρετεῖν. LB. ⟦ τίς ἂν φράσειε: Κορωνὶς ἑτέρα ὁμοία ἐν ἐκθέσει τοῦ δράματος.

sch plut 1171 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λζ′, ὧν τελευταῖος τῆς γραὸς ἐπιπολῆς ἔνεισιν αἱ χύτραι. ἑξῆς δὲ τούτων καὶ τελευταῖοι παντὸς τοῦ δράματος στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ β′. ἑξῆς δ’ αὖ τούτων ἡ κορωνὶς ἡ καὶ τὸ δρᾶμα περατοῦσα. ⟧ ὁ τοῦ Διὸς ἱερεὺς παραγέγονεν πεινῶν καὶ αὐτὸς καὶ μηδὲν ἔχων φαγεῖν. τοῦ Πλούτου γὰρ ἀναβλέψαντος παρορῶνται καὶ οἱ ναοὶ αὐτοί. V. φράσειε: Εἴποι. σαφῶς: Φανερῶς. LB. Dv. ἐνταῦθα σύναπτε τὸ ἐμοὶ καὶ τὸ σαφῶς. Θ. ὦ βέλτιστε: Ὦ κάλλιστε.

sch plut 1172 τί γὰρ ἄλλ’: Ἐστίν. ἤ: Παρό. κακῶς: Ἔχω. LB. καλῶς: Ἔχω δηλαδή. Dv. λείπει τὸ ἔχω. R. ἀφ’ οὗ: Καιροῦ.

sch plut 1173 LB. δι’ οὗτινος. Dv. ἀπόλωλα: Ἐφθάρην.

sch plut 1174 LB. ἐφθάρηκα. Dv. λιμοῦ: Τοῦ. τῆς πίνης. LB. Dv. τοῦ σωτῆρος: Ἐν ἄστει Δία σωτῆρα τιμῶσιν, ἔνθα καὶ σωτῆρος Διός ἐστιν ἱερόν· τὸν αὐτὸν δὲ ἔνιοι καὶ ἐλευθέριόν φασι.

sch plut 1176 τίς: Ποταπὴ τοῦ λιμώττειν σε. ὦ: Ἱερεῦ. πρὸς: Ἕνεκεν. LB. τοῦ μὴ ἔχειν σε. ἱερεῦ. Θ. θύειν: Θυσιάζειν.

sch plut 1177 LB. Dv. τίνος ἕνεκα: Χάριν. Dv. ὁ μὲν: Τίς.

sch plut 1179 ἥκων: Ἐλθών. LB. ἦλθον. Dv. ἔμπορος: Ἤγουν πραγματευτής. LB. Dv. Πραγματευτὴς, κυρίως ὁ κατὰ θάλατταν. Θ. (ἔθυσεν ἱερεῖόν τι σωθείς: Ἀντὶ τοῦ θυσίας ἐπετέλει· ἢ ἐξιλεοῦτο τὸ θεῖον ἐπὶ τοῖς μέλλουσι.

sch plut 1180 ) ⟦ μετεκάλει δ’ εἶπε τὸν ἱερέα, ἐπειδὴ νόμος ἐστὶ τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν. ⟧ —ἔθυσεν: θυσίας ἐπετέλεσεν. R. ἑόρταζεν ἐν τῷ οἴκῳ καὶ θυσίαν ἐποίει. Θ. ἤγουν ἐθυσίαζεν. Dv. ἱερεῖον: Θῦμα. σωθείς: Φυλαχθείς. LB. ἐκ χειμῶνος. Θ. Dv. ὁ δέ τις: Ἄλλος. LB. δίκην: Κρίσιν.

sch plut 1181 LB. κατὰ δίκην. Dv. ἀποφυγών: Ἔθυσεν. LB. δίκην ἀπ.: Κρίσιν, τιμωρίαν διαδράς. P. ὁ δ’ ἂν: Ἄλλος. LB. ἐκαλλιερεῖτο: Ἐθυσίαζε. LB. P. ἑόρταζεν ἐν τῷ οἴκῳ. Dv. μετεκάλει: Μετεπέμπετο.

sch plut 1182 τὸν ἱερέα: Ἐμέ. LB. τοῦ Διὸς δηλαδή. Dv. θύει: Θυσιάζει.

sch plut 1183 τὸ παράπαν: Τὸ παντελῶς. Dv. παντελῶς (Θ). εἰσέρχεται: Ἐν τῷ ναῷ θυσιάζων. LB. πλὴν: Εἰ μή.

sch plut 1184 ἀποπατησόμενοι: Χέζοντες. LB. Dv. εἰ μὴ χέσοντες. Θ. τὰ ἀφοδήματα ἀπορρίψοντες. P. ἀπόπατος λέγεται τὸ ἀφοδευτήριον, καὶ ἡ αὐτὴ ἡ ἀπόκρισις τῶν περιττῶν. λέγεται δὲ πάτος ἡ τροφή· ὅθεν καὶ πάσασθαι τὸ φαγεῖν· ἐκ τούτου οὖν ἡ ἀπόκρισις τῶν περιττῶν λέγεται ἀπόπατος. LB. πάτον λέγουσι μὲν καὶ τὴν πεπατημένην ὁδὸν, καὶ κατατετριμμένην, ἀπὸ τοῦ πατεῖσθαι, περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἧς καὶ Ὅμηρος λέγει [Il Z, 201] «πάτον ἀνθρώπων ἀλεείνων.» λέγεται δὲ καὶ πάτος καὶ ἡ τροφὴ, ὅθεν καὶ πάσασθαι τὸ φαγεῖν, καὶ ἐξ αὐτοῦ ἀπόπατος, ἡ ἔκκρισις καὶ ἀποσκυβάλισις τοῦ πάτου καὶ τῆς τροφῆς. ἤγουν καὶ ἐπεὶ παρά τισι πάτος λέγεται ὁ πρωκτὸς, εἰκότως ἀποπατεῖν λέγεται καὶ τὸ ἐκ τοῦ πρωκτοῦ τὰ σκύβαλα ἀπορρίπτειν. Vict. πλεῖν: Πλέον. LB. Dv. ἢ: Παρό. χίλιοι: Πολλοί. LB. οὐκοῦν τὰ νομιζόμενα: ⟦ Τῶν ἀφοδευμάτων, παίζων, τοῦτο δὲ δέον εἰπεῖν, τὸ δέρμα καὶ τὰς κωλᾶς, ⟧ ἐπειδὴ νόμος ἐστὶ τὰ ὑπολειπόμενα τῆς θυσίας τὸν ἱερέα λαμβάνειν.

sch plut 1185 Ἄλλως. τὰ ἔθιμα τῶν παρεχομένων τοῖς ἱερεῦσι δέρματα καὶ κωλαῖ. φησὶν οὖν ὅτι καὶ τῆς κόπρου τὰ νομιζόμενα λαμβάνεις, ⟦ τὰ ἔθη σκώπτων ⟧ . —τὰ νομιζόμενα: Τὰ συνήθη καὶ ἃ ἐκ νόμου τοῖς ἱερεῦσι λαμβάνειν δέδοται. παίζει δέ. Θ. τὰ ἐκ νόμου συνήθη. LB. συνήθη. Dv. τὰ κατὰ τοὺς νόμους ὀφειλόμενα. Br. τὰ ἔθιμα, τὰ κατὰ νόμους ἀνήκοντα. P. νόμος ἦν τὰ ὑπολειπόμενα τοῦ ἱερείου τὸν ἱερέα λαμβάνειν, δέρματα καὶ κωλᾶς. παίζων οὖν κἀνταῦθα φησὶ λαμβάνειν αὐτὸν τὰ νομιζόμενα ἐκ τῶν ἀφοδευμάτων. Br καὐτός μοι δοκῶ: Νομίζω συμφέρειν.

sch plut 1186 LB. χαίρειν ἐάσας: εὐφήμως εἶπε τὸ χαίρειν.

sch plut 1187 V. φθείρεσθαι ἀφείς. LB. Dv. Br. φθείρεσθαι. Θ. θάρρει: Ἔχε θάρρος ( Dv.

sch plut 1188 ). καλῶς ἔσται: Τὰ σὰ γενήσεται. LB. ταῦτα καλῶς γενήσονται. Dv. ὁ σωτὴρ: τὸν Πλοῦτον λέγει.

sch plut 1189 R. τὸν Πλοῦτον ἐνταῦθά φησι. V. ἤγουν ὁ Πλοῦτος. Θ Dv. πάρεστιν ἐνθάδε: Ἐνταῦθ’ ἐστίν. LB. αὐτόματος: Αὐτόκλητος.

sch plut 1190 LB. αὐτοπροαίρετος. ἀπὸ τοῦ αὐτός καὶ τοῦ μῶ, τὸ ὁρμῶ. ἔστι δὲ φιλόσοφος λέξις. P. τὸ αὐτόματος γίνεται ἀπὸ τοῦ αὐτός καὶ τοῦ ἵημι, τὸ ἔρχομαι, ἤγουν ὁ ἀφ’ ἑαυτοῦ ἐρχόμενος. Vict. ἥκων: Ἐλθών. ἀγαθὰ: Τά. τοίνυν: Λοιπόν. λέγεις: Ἐμοί. LB. τὸ ἐξιδρυσόμεθα τὸν Πλοῦτον.

sch plut 1191 R. ἱδρυσόμεθ’: Στήσομεν. Θ. Dv. ποιήσομεν, στήσομεν. LB. ἱδρυσόμεσθ’: Καθιδρύσομεν, ἐγκαταστήσομεν. P. ἱδρύω τὸ καθιδρύω, τουτέστιν ἢ ναὸν ἀνεγείρω, ἢ ἄγαλμα καθιστῶ. Vict. ἱδρυσόμεθ’ οὖν: Ὄπισθεν τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς τὸ τῶν Ἀθηναίων ἦν θησαυροφυλάκιον· φησὶν οὖν τὸν Πλοῦτον, ἤτοι ἀφιερώσομεν αὐτὸν ἐκεῖσε, καὶ ἀναθήσομεν, οὗπερ ὑπῆρχε πρότερον ἱδρυμένος, ἤγουν πεποιημένος καὶ ἀνατεθειμένος. σὺ δὲ περίμενε, διὰ μέσου. φυλάττων ὁ Πλοῦτος τὸν ὄπισθεν οἶκον τῆς θεοῦ. LB. αὐτίκα μάλ’: Συντόμως λίαν. περίμενε: Πρόσμενε. LB. τοῦτο διὰ μέσου. Θ. οὗπερ: Ἐκεῖ ὅπου.

sch plut 1192 ἦν ἱδρυμένος: Ὑπῆρχεν κατεσκευασμένος, ἱστάμενος. LB. ἱστάμενος, καθήμενος. Dv. ἀφιερωμένος. P. τὸν ὀπισθόδομον ἀεὶ φυλάττων: Ὀπίσω τοῦ νεὼ τῆς καλουμένης πολιάδος Ἀθηνᾶς διπλοῦς τοῖχος ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον.

sch plut 1193 (Ἄλλως.) ἐπεὶ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο. μέρος δέ ἐστι τῆς ἀκροπόλεως, [ἔνθα ἦν ταμιεῖον, ὄπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ]. τῆς Ἀθηνᾶς δηλονότι. εἰς τὴν ἀκρόπολιν ἀνέφερον τὰ χρήματα, κἀνταῦθα ἐφυλάττοντο, καθὰ καὶ Θουκυδίδης φησὶν ἐν τῇ δευτέρᾳ [C. 13] οὕτως «ὑπαρχόντων δὲ ἐν τῇ ἀκροπόλει ἀεί ποτε ἀργυρίου «ἐπισήμου ἑξακισχιλίων ταλάντων· τὰ γὰρ πλεῖστα «τριακοσίων ἀποδέοντα περιεγένετο, ἀφ’ ὧν ἔς τε τὰ «προπύλαια τῆς ἀκροπόλεως καὶ ἐς καὶ τἄλλα οἰκοδο«μήματα, καὶ ἐς Ποτίδαιαν ἐπανηλώθη.» τὸν ὀπισθόδομον: Τὸ ὄπισθεν τοῦ οἴκου, ἤγουν τοῦ ναοῦ. LB. τὰ ὄπισθεν τοῦ δόμου. Dv. τὸν ὄπισθεν τοῦ ναοῦ. P. τῆς θεοῦ: Τῆς Ἀθηνᾶς. LB. P. (ἀλλ’ ἐκδότω τις δεῦρο: Ὅτι Λυκόφρων, ὡς ὁ Ἐρατοσθένης φησὶν, ᾠήθη πρῶτον τοῦτον δᾷδας ᾐτηκέναι.

sch plut 1194 πεποίηκε δὲ καὶ ἐν Ἐκκλησιαζούσαις αὐτό. ἀλλὰ γὰρ Στράττις πρὸ ἀμφοτέρων τούτων τοὺς Ποταμίους διδάσκων εἰς Φιλύλλιον ἀναφέρει τὸ πρᾶγμα· ὑμεῖς τε πάντες ἔξιτ’ ἐπὶ τὸ Πύθιον, ὅσοι πάρεστε μὴ λαβόντες λαμπάδας μηδ’ ἄλλο μηδὲν ἐχόμενον Φιλυλλίου.) ἐκδότω: Ἔξω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δότω ἡμῖν. δεῦρο: Ἐνταῦθα. ἡμμένας: Πῦρ ἐχούσας. LB. ἁπτομένας. Θ. Dv. ἵν’ ἔχων προηγῇ τῷ θεῷ: Τοῦτο δὲ εἶπεν ὡς μέλλοντος προϊέναι τοῦ Πλούτου.

sch plut 1195 —ἵν’ ἔχων: Ὅπερ κρατῶν. LB. ἔχων: Κρατῶν. Dv. κατέχων. P. προηγῇ σὺ τῷ θεῷ: Προοδοποιῇς τῷ Πλούτῳ. LB. προηγῇ: Προοδοποιεῖ ὦ ἱερεῦ. Dv. πρ. τῷ θεῷ: Ἡγεμὼν γένῃ τῷ θεῷ. P. πάνυ μὲν οὖν: Λίαν χρὴ τοῦτο ποιῆσαι. LB. δρᾶν: Ποιεῖν.

sch plut 1196 χρὴ: Πρέπει. LB. κάλει: ἀντὶ τοῦ καλέσει. V. (τὰς χύτρας, αἷς τὸν θεὸν: Ἔθος γὰρ ἦν ἐν ταῖς ἱδρύσεσι τῶν ἀγαλμάτων ὀσπρίων ἡψημένων χύτρας περιπομπεύεσθαι ὑπὸ γυναικῶν ποικίλως ἠμφιεσμένων·) ⟦ καὶ τούτων ἀπήρχοντο χαριστήρια τοῖς θεοῖς ἀπονέμοντες.

sch plut 1197 ⟧ —ποιῶ: Ποιήσω. LB. τὰς χύτρας: Τὰ τζυκάλια. Dv. τὰς χύτρας: Ἀφιεροῦντές τι ἐν ναοῖς, ἢ καθιδρύοντες αὐτοὺς ἔθος εἶχον προσάγειν χύτρας ἀθάρας καὶ σεμιδάλεως μεστὰς, ἢ πελάνων καὶ ὀσπρίων ἀληλεσμένων· προωδοποίουν δὲ φέρουσαι ταῦτα ἐπὶ κεφαλῆς γυναῖκες σεμναί τινες. LB. αἷς: Δί’ ὧν. τὸν θεὸν· Τὸν Πλοῦτον. LB. ἐπὶ τῆς κεφαλῆς: Ἐπειδὴ, ὁπότε μέλλοιεν βωμοὺς ἀφιδρύειν, ἢ ἄγαλμα θεοῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις, εὐχαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης· ὅθεν καὶ ἐν ταῖς Δαναΐσι μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας παρ’ αἷς ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.

sch plut 1198 ἱδρυσόμεθα: Τάξομεν, κατασκευάσομεν. LB. στήσομεν. Dv. ἐπὶ: Ἐπάνω. τῆς κεφαλῆς: Τῆς σῆς. φέρε: Βάσταζε. LB. ἄγε. Dv. [αὐτὴ ποικίλα: Λείπει τὸ ἱμάτια, ἵν’ ᾖ ποικίλα ἱμάτια ἔχουσα σεμνῶς ἦλθες.

sch plut 1199 πορφυροῖς γὰρ καὶ ποικίλοις ἱματίοις ἐπόμπευον. δεῖ δὲ ὑπονοεῖν, ὅτι ἡ γραῦς ἐβιάσατο καὶ συνεισῆλθε τῷ νεανίσκῳ· καὶ ὅτι ἡ γραῦς ποικίλα ἦλθεν ἔχουσα ἱμάτια.] —σεμνῶς: Εὐτάκτως. LB. ἐντίμως, μεγαλοπρεπῶς. Θ. ἐντίμως. Dv. ἔχουσα: Φοροῦσα. LB. Dv. αὐτὴ: Σύ. ποικίλα: Διάφορα ἱμάτια. LB. ἱμάτια. Dv. λείπει ἱμάτια. R. Θ. ὧν δ’ οὕνεκ’: Ὧν τινῶν χάριν· τί γενήσεται; LB.

sch plut 1200 πάντα: Ἃ βούλει. Dv. πεπράξεται: Πραχθήσεται. LB. γενήσεται. Dv. τί γενήσεσαι. ἃ βούλει γενήσεται. Θ. ἥξει: Ἐλεύσεται.

sch plut 1201 LB. ἔλθῃ. Dv. ὥς σε: Εἰς σέ. Θ. εἴγε μέντοι: Εἴπερ ὅμως.

sch plut 1202 νὴ Δί’: Μὰ τόν. ἐγγυᾷ: Ἐγγύην δίδως. LB. ὑπόσχῃ. Dv. ἀντὶ τοῦ ἔγγυον καὶ ὑπόσχεσιν δίδως. P. ἐγγυᾷ ἐνεργητικῶς· ἐπὶ γαμικοῦ συναλλάγματος. οἷον ἐγγυᾷ ὁ δεῖνα τῷ δεῖνι τὴν ἑαυτοῦ θυγατέρα. ἐγγυῶμαι δέ σοι παθητικῶς ἀντὶ τοῦ ὑπισχνοῦμαί σοι. ὅθεν καὶ ἐγγύη ἡ ὑπόσχεσις. P. Vict. ἥξειν: Ἐλθεῖν.

sch plut 1203 οἴσω: Κομίσω. LB. Dv. τὰς χύτρας: Τὰ τζυκάλια. LB. μὴν: Λοιπόν.

sch plut 1204 LB. αὗται: Αἱ χύτραι.

sch plut 1205 ταῖς ἄλλαις χύτραις: Τῶν ἄλλων χυτρῶν. LB. ἡ γραῦς ἔπεστ’ ἀνωτάτω: (Ἐν τῷ ὑπερζεῖν τὰ μαγειρευόμενα ὄσπρια.

sch plut 1206 ) γραῦς γὰρ καλεῖται ὁ ἀφρὸς ὁ ἀνώτατος τῶν χυτρῶν, (ἢ τὸ ἐπιπηγνύμενον ἐλαιῶδες τῷ ζωμῷ, ἡ ἐπιφάνεια τῆς ἀθάρης. τὸ δὲ, οὐκ ἔτι τοίνυν καὶ τὰ ἐφεξῆς) ἐκ τοῦ ποιητοῦ διὰ τοῦ χοροῦ. — ἡ γραῦς: Τὸ λίπος. LB. ἡ κοινῶς ἄθη. LB. ὁ ἀφρός. φασὶ γὰρ ἰδιωτικῶς τὸν ἀφρὸν γραῦν διὰ τὸ λευκόν. Θ. ἤγουν ὁ ἀφρὸς διὰ τὸ λευκόν. Dv. ἔπεστ’ ἀνωτάτω: Ἐπάνω. Θ. ἐπάνω ὑπάρχει. LB. ἡ γραῦς ἔπεστ’: Ἤτοι ὡς ἀφρός. P. γραῦς λέγεται τὸ ἀφρῶδες καὶ ἐπάνω τῆς χύτρας, ὅταν ἑψημένον τι ἔχοι ἐντός. παίζει οὖν ἐνταῦθα, ὅτι τὴν γραῦν κατέπεισαν βαστάσαι τὰς χύτρας, ἧς ἄνω ἦσαν αἱ χύτραι· ἔπασχε δὲ αὕτη τὸ ἐναντίον· ἐπεὶ ἐν μὲν ταῖς ἄλλαις, φησὶ, χύτραις ὑπάρχει ἄνω ἡ γραῦς, ἢ τὸ ἀφρῶδες· ταύτης δὲ τῆς γραὸς ὑπεράνω εἰσὶν αἱ χύτραι. LB. τῆς γραὸς: Τῆς γυναικός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch plut 1207 Dv. ἐπιπολλῆς: Ἐπάνω. LB. Dv. Vict. ἐπιπολλῆς: Ἀπὸ τῆς ἐπί προθέσεως καὶ τοῦ πολλῆς γενικῆς τῶν ἑνικῶν γίνεται, καὶ ἔστιν ἐπίρρημα τοπικόν. ἔνεισιν: Ὑπάρχουσιν. LB. ὑπάρχει. Dv. οὐκ ἔτι: Οὐδαμῶς.

sch plut 1208 τοίνυν: Λοιπόν. μέλλειν: Βραδύνειν. εἰκὸς: Ὑπάρχει πρέπον. ἀναχωρεῖν: Μεταβαίνειν. Θ. LB. εἰς τοὔπισθεν: Ἔμπροσθεν γὰρ Χρεμύλου καὶ τῶν ἄλλων ἵσταντο.

sch plut 1209 Θ. μέρος. δεῖ: Πρέπει. κατόπιν: Ὄπισθεν ( Dv. ). ᾄδοντας: Ὠιδὴν λέγοντας. ἕπεσθαι: Ἀκολουθεῖν ( Dv. ). LB.

Eulogikon public reading copy · View original HTML at eulogikon.org